σι'. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ὑπερηφανίαν ἐκκόπτων καὶ καταργῶν τὴν στάσιν τοῦ διαβόλου, ὁ ἐπιχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τὰς κεφαλὰς τῶν ἁγίων σου καὶ στεφανῶν αὐτοὺς τὸν ἀμαράντινον καὶ ἄφθαρτον στέφανον τῆς ζωῆς καὶ ὁδηγῶν αὐτοὺς εἰς (469) τὴν στενὴν ὁδὸν τῆς σωτηρίας, δι' ἧς εἰσῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπέλαϐον τοὺς τόπους τῆς ἀναπαύσεως. Αὐτὸς Δέσποτα παντοδύναμε, χάρησαι τὴν παρὰ σοῦ δύναμιν καὶ χάριν τῆς σῆς θεότητος ἐπὶ ταύτῃ τῇ ψυχῇ καὶ τῷ σώματι τοῦ προσελθόντος ἐνώπιόν σου καὶ δεχομένου τὸν ζυγὸν τῆς μοναχικῆς καταστέσεως. Καὶ δὸς αὐτῷ, Δέσποτα ὑπεράγαθε, ἐξ ὅλης καρδίας, ἐξ ὅλης ἰσχύος ἀποστῆναι ἀπὸ παντὸς κοσμικοῦ καὶ γηίνου φρονήματος, ὅπως κατὰ τὸ εὐαγγέλιόν σου πολιτευσάμενος τύχῃ (470) τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς εὐρεστήσασίν σοι. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ θέλων πάντα ἄνθρωπον σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν καὶ σοὶ τὴν δόξαν.

Εὐχὴ γ' ἐκφώνως·

σια'. Ὁ τὴν ἐπουράνιον ταύτην καταδείξας ἡμῖν στρατιάν, καὶ πρὸς καθαίρεσιν τῶν ἀφώνων ἐχθρῶν ὅπλησον ὅπλοις πνευματικοῖς καὶ τὸν νῦν εἰς αὐτὴν ἐγγραφόμενον ἀδελφὸν ἡμῶν, καὶ δὸς αὐτῷ ἐν νηφαλέῳ φρονήματι τὸν λοιπὸν διατρέξαι τοῦ βίου χρόνον ἄμωμον καὶ ἀκηλίδωτον, μετερχόμενον πολιτείαν εἰς εὐαρέστησιν καὶ δόξαν τοῦ πολυυμνήτου σου ὀνόματος. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ (471). Καὶ ὁ Κύριος τοῦ

ἀδελφοῦ ἡμῶν τοῦδε ἐγγράψει τὸ ὄνομα ἐν βίβλῳ ζωῆς, καὶ πάντας ἡμᾶς ἐλεήσει καὶ ἀξιώσει τῆς ἐπουρανίου αὐτοῦ βασιλείας. Ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

+Ἕως ὧδε τοῦ μικροῦ σχήματος.

Καὶ πληρουμένης τῆς α' εὐχῆς, λέγει πάλιν ὁ διάκονος·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας καὶ μόνης τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας, τῆς ἀπὸ γῆς περάτων καὶ μέχρι τῶν περάτων αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν τοῦδε καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας, ἀντιλήψεως καὶ ἀφέσεως ἁμαρτιῶν τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε, τοῦ προσελθόντος τῷ ἁγίῳ σχήματι, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν προσδέξηται καὶ καταξιώσῃ αὐτὸν (472) ἐν τῇ ἁγίᾳ αὐτοῦ καὶ λογικῇ ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ καταξιῶσῃ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ στάσεως καὶ τῆς μετ' ἀγγέλων χωρίας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν μετὰ σπουδῆς καὶ εὐλαβείας καὶ φόβου Θεοῦ κοπιώντων καὶ συνδιακονούντων ἡμῖν πατέρων τε καὶ ἀδελφῶν καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ὥρᾳ καὶ ἐν παντὶ καιρῷ, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης.

Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τὴν β', τὴν μετὰ τὴν κουράν·

Ἅγιε, ἀγαθέ, ὁ ἐν ἁγίοις ἐπαναπαυόμενος Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ σιβ' Θεοῦ τοῦ ζῶντος, ὁ τὴν ὑπερηφανίαν ἐκκόψας καὶ καταργήσας τὴν ἔνστασιν τοῦ ἀντικειμένου καὶ ἐπιχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης (473) καὶ στεφανῶν τῷ στεφάνῳ τῆς δόξης καὶ ὁδηγῶν ἐπὶ τὴν στενὴν ὁδόν, δι' ἧς διῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπείληφαν αὐτῶν τοὺς τόπους τῆς ἀναπαύσεως. Αὐτὸς Δέσποτα, δώρησαι τὴν παρὰ σοῦ δύναμιν καὶ χάριν τῆς σῆς θεότητος ἐπὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τοῦ τῶν προσελθόντων σοι ἀδελφῶν ἡμῶν τῶνδε καὶ δεξαμένων τὴν ἀπαρχὴν τοῦ ἁγίου σχήματος ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ, ἵνα καὶ αὐτοὺς ἁγιάσῃς ὁλοτελεῖς διὰ τῆς χάριτος τοῦ ἁγίου σου Πνεύματος. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύεις καὶ σοὶ τὴν δόξαν.

Καὶ πληρουμένης τῆς εὐχῆς, λέγει πάλιν ὁ διάκονος·

Ἔτι ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τοῦ Θεοῦ φιλανθρωπίας (474) καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν, ὁ δεῖνα, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν προσδέξηται καὶ κατατάξῃ αὐτὸν ἐν τῇ ἁγίᾳ αὐτοῦ καὶ λογικῇ ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ καταξιώσῃ αὐτὸν τῆς ἐκ δεξιῶν αὐτοῦ στάσεως καὶ τῆς μετ' ἀγγέλων χωρίας, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας ἀχράντου.

Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην τοῦ σχήματος·

σιγ'. Ὁ ὢν Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ δοὺς αὐτῷ πρόσταγμα ζωῆς αἰωνίου, ἐκπεσόντα δὲ αὐτὸν διὰ τῆς ἁμαρτίας μὴ παριδών, ἀλλ' οἰκονομήσας διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ (475) τὴν αὐτοῦ σωτηρίαν καὶ ἐπιστροφήν. Δεόμεθά σου καὶ παρακαλοῦμεν, πανάγιε Σωτὴρ ἡμῶν, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν δοῦλόν σου τόνδε καὶ πρόσδεξαι αὐτὸν πρὸς σὲ καταφεύγοντα, καὶ κατάπεμψον ἐπ' αὐτὸν τὸ Πνεῦμά σου τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ κατελθόντα [1]) ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους, καὶ ἔνδυσον αὐτὸν χιτῶνα δικαιοσύνης, καὶ περίβαλε στολὴν ἀφθαρσίας, καὶ περίζωσον τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίου (476) κατακόσμησον αὐτόν, καθάρ(ισ)ον τὸ φρόνημα αὐτοῦ ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κενῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας, ῥῦσαι αὐτὸν ἀπὸ φαντασμάτων πονηρῶν καὶ ἀκαθάρτων, διάνοιξον τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτοῦ εἰς τὸ διαυγάσαι αὐτῷ τὸν φωτισμὸν τῶν ἐντολῶν σου, σύζευξον τῇ ζωῇ αὐτοῦ ἄγγελον φωτεινόν, ἀπέλασον ἀπὸ τῆς διανοίας αὐτοῦ πᾶν ψεῦδος, πᾶν φαῦλον, πάντα πειρασμὸν βιοτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κίνησιν σαρκὸς καὶ πνεύματος, ἀπηλλοτριωμένην τῆς σῆς θεότητος, ἐνδυνάμωσον (477) αὐτὸν πρὸς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον, ἵνα γένηται φοβερὸς τοῖς ὑπεναντίοις, ἀνάλωτος τοῖς πολεμίοις, πάσης ἡδονῆς καὶ αἰσχρᾶς ἐπιθυμίας ὑψηλότερος, ὑπακοὴν παιδευόμενος, ἐγκράτειαν μετερχόμενος, τῷ τῆς ἀσκήσεως νόμῳ στοιχῶν τὲ [2]) καὶ πάσης αὐτῆς ἀρετῆς

---

[1]) Въ рукописи ΚΑΤΕΛΘΟΤΟΙ.

[2]) Въ рукописи ΣΤΥΧΟΥΝΤΙ.

μετιῶν τὲ [1]) ψαλμοῖς καὶ ὕμνοις δοξάζων τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῖς ἴχνεσιν ἐξακολουθῇ τοῦ μεγάλου σου προφήτου Ἠλίου καὶ τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἵνα φθάσας τὸ μέτρον τῆς τελειότητος τὸν (478) τὸν (sic) δρόμον τελέσῃ, τὴν πίστην τηρήσῃ, καὶ ἐνδυσάμενος τὴν τῶν ἀγγέλων ἀφθαρσίαν καὶ συναριθμηθεὶς τῇ ἁγίᾳ σου ποίμνῃ, τύχῃ τῆς ἐκ δεξιῶν σου στάσεως καὶ καταξιωθῇ ἀκοῦσαι τῆς μακαρίας φωνῆς ἐκείνης, τῆς λεγούσης· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἧς καὶ ἡμᾶς σὺν αὐτῷ κληρονόμους ἀνάδειξον, ὁ Θεὸς ἡμῶν, τῇ σῇ χάριτι. Ἐκφώνως· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ σοὶ τὴν δόξαν.

Καὶ ποιεῖ ὁ διάκονος τὴν εὐχὴν ταύτην· Ἔτι ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν (479).

Ὑπὲρ τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν, ὁ δεῖνα, πρεσβυτέρου καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως καὶ ἀφέσεως ἁμαρτιῶν τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε, τοῦ καταξιωθέντος τῷ ἁγίῳ σχήματι, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς Παναγίας ἀχράντου.

Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μετὰ τοῦ σχήματος·

Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ σιε'. εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· εὐλόγησον τὸν δοῦλόν σου, ὁ δεῖνα, καὶ φύλαξον αὐτὸν ἐν τῷ νόμῳ σου, χάρισαι αὐτῷ μὴ εἰς καινὸν τρέχειν, ἀλλ' ἐν ἀληθείᾳ φεύγειν πᾶσαν κακίαν καὶ μεταδιώκειν πᾶσαν ἀρετὴν μετὰ πίστεως (480), ἐλπίδος τὲ καὶ ἀγάπης εἰς τὸ ἐπιλαβέσθαι τῆς αἰωνίου ζωῆς· καὶ ἀξίωσον αὐτὸν ἐνδυσάμενον τὸ ἅγιον σχῆμα τῷ μὲν περιβολαίῳ τῆς δικαιοσύνης ἀντέχεσθαι, τῇ δὲ ζώνῃ τὴν νέκρωσιν τοῦ σώματος καὶ τὴν σωφροσύνην ἐν αὐτῷ περιφέρειν, τῷ δὲ ἀναλάβῳ τῷ σταυρῷ καὶ τῇ πίστει κατακοσμῆσθαι, καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστιν ῥῆμα Θεοῦ. Ἐκφώνως· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ.

---

[1]) Въ рукописи METIONTA. Гоаръ, въ своемъ вообще неисправномъ изданіи текста молитвы, совершенно опускаетъ строку, начинающуюся со словъ: τῷ τῆς ἀσκήσεως νόμῳ и пр. до словъ: ψαλμοῖς καὶ ὕμνοις, ΕΥΧΟΛΟΓΙΟΝ, p. 392.

Τῇ η΄ ἡμέρᾳ εἰς τὴν ἀποκουκούλλισιν λέγει ὁ διάκονος στίχον· Τοῦ Κυρίου δεηθῶμεν (481), καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἀπολύσεως.

σις΄. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων, ὁ τῶν ἐν ἀσκήσει βιωσάντων (καὶ) ἀγωνιστικῶς ἐγκρατευσαμένων εἰς εὐαρέστησιν τῆς σῆς ἀγαθότητος τὸν δρόμον τελέσας, ὁ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ἑκουσίως ἑλόμενος, εἰς τὴν ζωὴν τὴν αἰώνιον ἀγαγὼν τοῦ τὲ παραδείσου τὴν τρυφὴν καὶ τῆς ἐπουρανίου σου βασιλείας τὴν ἀπόλαυσιν ἑτοιμάσας· αὐτὸς καὶ νῦν τὸν δοῦλόν σου τόνδε, τὸν τοῦ ἀγγελικοῦ τούτου τὸν τοῦ μονήρους βίου ἀναλαβό(ν)τα σχῆμα. μέχρι τέλους ἐν ἁγνείᾳ καὶ ἁγιότητι ὁδήγησον αὐτὸν ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, κατεύθυνον αὐτοῦ τὰ διαβήματα (482) εἰς πᾶσαν ὁδὸν δικαιοσύνης, ἔνδυσον αὐτὸν ἁγιασμοῦ στολήν, θώρακα πίστεως, περικεφαλαίαν σωτηρίου, σωφροσύνην καὶ ἀνδρείαν τὴν ὀσφὺν αὐτοῦ περίσφιγξον. δυνάμωσον αὐτὸν πρὸς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον καὶ νικητὴν παθῶν ἀνάδειξον, ὅπως κατὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ σου πολιτευσάμενον, εὕρῃ μέρος καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰώνων σοι εὐαρεστησάντων. Ἐκφώνως· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ.

Καὶ μετὰ τὸ εὔξασθαι, στρέφεται πρὸς αὐτὸν καὶ κατηχεῖ αὐτὸν τὰ δέοντα. Καὶ λέγει·

Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν, ὁ δεῖνα, καὶ (483) τῆς ἐν Χριστῷ σωτηρίας αὐτοῦ, εἴπωμεν πάντες Κύριε ἐλέησον. Καὶ ὅτε εἴπει γ΄, χαλᾷ τὸ κουκούλιον, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

+ Τῇ α΄ ἡμέρᾳ, ὅτε τὸ σχῆμα δίδοται, μεσῴδιον ἦχος βαρύς. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου. Ὁ ἀπόστολος τῆς καθολικῆς β΄ ἐπιστολῆς τοῦ Πέτρου τοῦ ἁγίου Ἀποστόλου τὸ ἀνάγνωσμα, ἀρχή· Συμὼν Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ. Τέλος· τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν. Στίχος τοῦ Ἀλληλούια· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφαλὶς ρι΄, ἀρχή· Ἐξομολογοῦμαι σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ. Τέλος· καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ἡμέρᾳ β΄ μεσῴδιον ἦχος πλ. δ΄ ἀρχή· Εὔξασθε καὶ ἀπόδοτε. Στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους Παύλου τοῦ ἁγίου Ἀποστόλου· Ἀδελφοί, παρακαλῶ ὑμᾶς (484) ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. Τέλος

τῆς κλήσεως ἡμῶν. Στίχος τοῦ Ἀλληλούια Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε. Εὐαγγέλιον κατὰ Ματθαῖον, ἀρχή· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησεν (sic) γάμους τῷ υἱῷ αὐτοῦ. Τέλος· πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Ἡμέρᾳ γ' μεσώδιον ἦχος δ'. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους Παύλου τοῦ ἁγίου Ἀποστόλου· Ἀδελφοί, ἀνανεοῦσθαι τῷ πνεύματι τοῦ νοὸς ὑμῶν. Τέλος· νῦν δὲ φῶς ἐν Κυρίῳ. Στίχος τοῦ Ἀλληλούια· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός. Εὐαγγέλιον κατὰ Μάρκον, ἀρχή· Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρόν αὐτοῦ. Τέλος· ἐληλυθυῖαν ἐν δυνάμει.

Ἡμέρᾳ δ' μεσώδιον ἦχος πλ. δ'. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν. Στίχος. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους ἐπιστολῆς Παύλου τοῦ ἁγίου Ἀποστόλου. (485) Ἀδελφοί. ὑμεῖς ναὸς Θεοῦ ἐστὲ ζῶντος. Τέλος· ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Στίχος τοῦ Ἀλληλούια· Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Εὐαγγέλιον κατὰ Λουκάν· Ἐπορεύθη ὁ Ἰησοῦς κατὰ πόλεις καὶ κώμας. Τέλος· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Τῇ ε' μεσώδιον ἦχος β'. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Στίχος· Λύτρωσέ με ἀπὸ συκοφαντίας. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους, ἀρχή· Ἀδελφοί, παρακαλῶ ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆναι τὰ σώματα ὑμῶν. Τέλος· μέτρον πίστεως. Στίχος τοῦ Ἀλληλούια· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. Εὐαγγέλιον κατὰ Λουκᾶν, ἀρχή· Ἐγένετο ἐν τῷ εἶναι τὸν Ἰησοῦν ἐν τόπῳ τινί. Τέλος· τοῖς αἰτοῦσιν αὐτόν.

Τῇ ς' μεσώδιον ἦχος πλ. β'· Ἰσχύς μου καὶ ὕμνησις μοῦ ὁ Κύριος καὶ ἐγένετό μου εἰς σωτηρίαν. Στίχος· Παιδεύων ἐπαίδευσέν με ὁ Κύριος καὶ ἐγένετό μου εἰς σωτηρίαν. Ὁ ἀπόστολος πρὸς Κορινθίους δ' ἐπιστολῆς Παύλου, ἀρχή· Ἀδελφοί. ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι (486). Τέλος. ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Στίχος τοῦ Ἀλληλούια· Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. Εὐαγγέλιον κατὰ Ματθαῖον, ἀρχή· Ἐγένετο τοῦ Ἰησοῦ ἀνακειμένου. Τέλος· ἀλλὰ ἁμαρτωλοὺς εἰς μετανοίαν.

Ἡμέρᾳ ζ' μεσώδιον ἦχος δ', ψαλμὸς κδ'. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες. Στίχος· Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. Τέλος· ἐν φόβῳ Θεοῦ . Στίχος τοῦ Ἀλληλούια· Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγι-

ὸν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν, ἀρχή· Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον. Τέλος· καταστήσει αὐτόν.

Ἡμέρᾳ ἡ μεσώδιον ἦχος βαρύς. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Στίχος· Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε. Τέλος· εὐχαριστοῦντες τῷ Θεῷ. Στίχος τοῦ Ἀλληλούια. Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών, ἕως Ἱερουσαλήμ. Εὐαγγέλιον κατὰ Λουκᾶν (487)· Συνεπορεύοντο τῷ Ἰησοῦ ὄχλοι πολλοὶ καὶ στραφεὶς εἶπεν πρὸς αὐτούς· εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα. Τέλος· ἐπὶ ἁμαρτωλῷ μετανοοῦντι.

Πλήρωσις τῶν ἀρχῶν τελοῦς τοῦ σχήματος.

(488)

Изъ того же Евхологія.

Сс. 492—502. Εὐχὴ ἐπὶ μελλούσης λαμβάνειν σχῆμα μοναστρίας, α'.

σιη'. Κύριε ὁ Θεὸς ἡμών, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας, ὡς μητέρα τῆς σῆς οἰκονομίας (492) αὐτὴν ἐπιγράψασθαι. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, τὴν δούλην σου τήνδε, τὴν βουληθεῖσαν τὰς βιωτικὰς ταύτας καὶ προσκαίρους καταλεῖψαι δόξας καὶ εἰς τὴν σὴν ἀφιδεῖν ἀγαθότητα, πρόσδεξαι καὶ τῆς τοῦ ἁγίου σου Πνεύματος ἐπιφοιτήσεως ἀξίωσον, ἐγκράτειαν αὐτῇ καὶ πᾶσαν σεμνότητα δωρούμενος, πρὸς τὸ αὐτὴν εὐαρέστως σοι πολιτευσαμένην, ὡς λαμπάδα φαιδράν σοι τὴν τῆς σωφροσύνης φαιδρότητα τῷ ἐλαίῳ τῶν ἑαυτῆς ἔργων ἀνελλιπῶς πιαινομένην ἐν τῇ προηγήσει σου τοῦ ἐπουρανίου νυμφίου. Ἐκφώνως· Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον.

Εὐχὴ β' εἰς μοναστρίας.

σιθ'. Ὁ τῶν ἀγαθῶν Θεὸς καὶ τῆς παρθενίας (493) πατὴρ καὶ τῆς ἐναρέτου πολιτείας γεωργός· φύλαξον τὴν δούλην σου τήνδε ἐν τῷ κάλλει, ᾧ ἐξελέξου (sic), ἔνδυσον αὐτὴν τὸ φῶς τῆς ἁγιωσύνης καὶ τὴν στολὴν τῆς σωφροσύνης, ἵνα μεριμνᾶ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ ἑαυτῆς Δεσπότῃ, καὶ ἵνα ᾖ ἁγία σώματι καὶ ψυχῇ καὶ πνεύματι, συναριθ-

μουμένη τῷ χορῷ τῶν φρονίμων παρθένων, καὶ λαμπάδας ἔχουσα τῆς εὐσεβείας καταξιωθῆ εἰσελθεῖν εἰς τὸν οὐράνιον ζωῆς νυμφῶνα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ'(οὗ) εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου.

Εὐχὴ γ' τοῦ σχήματος.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καλῶν δικαίους εἰς ἁγιασμὸν καὶ ἁμαρτω- σκ'.
λοὺς (494) εἰς τὸ δικαιῶσαι καὶ μετανοοῦντας εἰς τὸ οἰκτειρῆσαι. Αὐτὸς Δέσποτα φιλάνθρωπε, πρόσδεξαι τὴν μετάνοιαν τῆς δούλης σου τῆσδε καὶ προσπίπτουσαν τοῖς οἰκτιρμοῖς σου ἐν ἐξομολογήσει τῶν ἡμαρτημένων, ὡς ἀγαθὸς συγχώρησον καὶ λύτρωσαι αὐτὴν ἐκ πάσης σωματικῆς ἁμαρτίας, λάμπρυνον ἐκ πάσης ῥερυπωμένης συνειδήσεως, καθάρισον αὐτὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἐνδυνάμωσον αὐτὴν ἐν τῇ ἐργασίᾳ τῶν σῶν ἐντολῶν, ἀπεκδυσαμένην τὴν ματαιότητα τοῦ βίου καὶ ἀποκειραμένη(ν) (495) τὴν κόμην τῆς κεφαλῆς κατὰ μίμισιν τῆς πρωτομάρτυρός σου Θέκλης, συναρίθμιον αὐτὴν ποίησον ταῖς πισταῖς καὶ φρονίμοις παρθένοις, ἵνα ἐν καθαρότητι ψυχῆς καὶ σώματος καρποφοροῦσα καὶ αὐξανομένη ἐν ἔργοις ἀγαθοῖς κληρονόμος γένηται τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ.

Εὐχὴ δ' τελείου σχήματος·

Δέσποτα παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν καὶ Σω- σκα'.
τῆρος Ἰησοῦ Χριστοῦ, ὁ Θεὸς τοῦ ἐλέους· δεόμεθα καὶ παρακαλοῦμεν σε καὶ περὶ τῆς δούλης σου τῆσδε, ὅπως (496) συντηρήσῃς ἡμῖν αὐτὴν ἀπὸ παντὸς φθόνου τοῦ διαβόλου καὶ πάσης ἐπιβουλῆς τῶν κακοθελῶν ἀνδρῶν καὶ πάσης νόσου καὶ πάσης μαλακίας. Καταξίωσον δὲ καταπέμψαι ἐπ' αὐτὴν τὸ σὸν φόβον, τὴν σὴν εἰρήνην, τὴν ἐκ τῶν οὐρανῶν διὰ τοῦ ἀγγέλου τῆς εἰρήνης, κατεύθυνον δὲ τὰς ὁδοὺς αὐτῆς καὶ περιτείχισον αὐτῆς τὴν ψυχὴν καὶ τὸ σῶμα, φώτισον τὴν διάνοιαν αὐτῆς ἐν τῷ φωτισμῷ τῆς σῆς γνώσεως, γράψον τὰ δικαιώματά σου ἐπὶ τὴν καρδίαν αὐτῆς, τὴν λαμπάδα αὐτῆς ἄσβεστον διαφύλαξον, συγκαταριθμῶν αὐτὴν μετὰ τῶν πέντε παρθένων, σῶσον (497) καὶ ἐλέησον αὐτὴν ἕνεκεν τοῦ ὀνόματός σου, τοῦ ἐπικεκλημένου ἐπ' αὐτὴν καὶ ἡμᾶς· δὸς αὐτῇ χάριν εὑρεῖν ἐνώπιόν σου καὶ ἐνώπιον τοῦ Χριστοῦ εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς καὶ εἰς ἐκείνην τὴς ἡμέραν σὺν

πᾶσιν τοῖς παροῦσιν καὶ πᾶσιν ἡμῖν, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ.

Εὐχὴ ε' τοῦ σχήματος.

σκβ'. Ἅγιε, ἅγιε, ἐν ἁγίοις ἀναπαυόμενος, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ τοσοῦτον ἀγαπήσας τὸ γένος τῶν ἀνθρώπων, ὥστε ἐνοικεῖν ἐν αὐτῷ καὶ ἐμπεριπατεῖν, ναούς τε ἔχειν τῆς φοβερᾶς καὶ ἀθανάτου σου δόξης, ὁ εἰπών, εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν (498), ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι. Αὐτὸς Δέσποτα φιλάνθρωπε, εὐδόκησον ἐν τῇ ἀποταγῇ τῆς δούλης σου τῆσδε, ἐπίθες ἐπ' αὐτὴν τὸν ζυγόν σου τὸν χρηστὸν καὶ τὸ φορτίον σου τὸ ἐλαφρόν, ὁλόκληρον αὐτῆς τὸ πνεῦμα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα διαφύλαξον, ἀμφίασον αὐτὴν τὴν στολὴν τὴν πρώτην τὴν πνευματικήν τε καὶ τὴν ἀφθάρτον [1]), ἔνδυσον αὐτὴν τὸν θώρακα τῆς πίστεως καὶ τὴν πανοπλίαν τοῦ ἁγίου σου Πνεύματος, περίζωσον αὐτὴν τῇ ἁγνείᾳ καὶ τὸν ἁγιασμὸν καὶ τὴν σωφροσύνην, ἵνα τὰς μεθοδείας τοῦ διαβόλου τρο(499)πωσαμένη δυνάμει τῇ σῇ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσηται, τὸν δρόμον τελέσῃ τὸν σόν, τὴν πίστιν τηρήσῃ τὴν σὴν καὶ τὸν τῆς δικαιοσύνης ὑποδέξηται στέφανον, ὃν ἐπηγγείλω τοῖς ἀγαπῶσιν σε καὶ φυλάττειν τὰ προστάγματά σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

Εὐχὴ ς' τοῦ σχήματος.

σκγ'. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ὑπερηφανίαν ἐκκόπτων καὶ καταργῶν τὴν στάσιν τοῦ διαβόλου, ὁ ἐπιχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τὰς κεφαλὰς τῶν ἁγίων σου, καὶ στέφων αὐτοὺς τὸν ἀμαράντινον καὶ ἄφθαρτον στέφανον (500) τῆς ζωῆς, ὁδηγῶν αὐτοὺς τὴν στενὴν ὁδόν, δι' ἧς διῆλθον οἱ ἅγιοι πατέρες καὶ εὗρον τὸν τόπον τῆς ἀναπαύσεως. Αὐτὸς Δέσποτα χάρισαι τὴν παρὰ σοῦ δύναμιν καὶ χάριν τῆς σῆς θεότητος ἐπὶ ταύτῃ τῇ ψυχῇ καὶ τῷ σώματι τῆς ἑστώσης ἐνώπιόν σου καὶ δεχομένης τὸν τῆς μοναχικῆς καταστάσεώς σου ζυγόν, καὶ δὸς αὐτῇ, Κύριε, ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης

---

[1]) Въ рукописи вмѣсто τὴν πνευματικήν τε καὶ τὴν ἀφθάρτον стоитъ ΤΗ ΠΝΚΗ ΤΕ Κ(αι) ΤΗ ΑΦΑΡΤΩ. Такимъ образомъ, согласованіе съ предыдущимъ τὴν στολὴν τὴν πρώτων нарушается. Но это—не больше, какъ недосмотръ копіиста. Гоаръ измѣняетъ ΤΗΝ ΣΤΟΛΗΝ ΠΡΟΤΗΝ рукописи въ τῇ στολῇ τῇ πρώτῃ, p. 401.

ἰσχύος ἀποστῆναι ἀπὸ παντὸς κοσμικοῦ καὶ γηΐνου φρονήματος, ὅπως κατὰ τὸ εὐαγγέλιόν σου πολιτευσαμένη. τύχῃ τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς εὐ(501)αρεστήσασίν σοι. Ἐκφώνως· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ θέλων πάντα ἄνθρωπον σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τούς (502).

II.

Изъ Евхологія X—XI в. Московскаго Румянцевскаго Музея (Севастьяновскаго собранія) № 474.

Лл. 141—144. Ἀκολουθία τοῦ πρώτου σχήματος.

Δέον γινώσκειν, ὅτι εἰσέρχεται ὁ μέλλων λαμβάνειν τὸ σχῆμα ἐν τῷ διακονικῷ, προσκειμένου τοῦ εὐαγγελίου ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ βαλόντος αὐτοῦ μετάνοιαν ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ἀναστάντος, ἐρωτᾶται ὑπὸ τοῦ ἱερέως ταῦτα·

Τέκνον εὐλογημένον καὶ πνευματικόν, τίνος ἕνεκα παρεγένου εἰς τὴν ἁγίαν μονὴν ταύτην, λοιπὸν δὲ καὶ πρὸς ἡμᾶς τοὺς ἐλαχίστους καὶ ἁμαρτωλούς; Ἀπόκρισις· Θέλων γενέσθαι μοναχόν. Ὁ ἱερεύς· Ὄντως θεόθεν σοι ὁ σκοπὸς οὗτος ὑπεβλήθη, ἐάν περ γένῃ ἄξιος, δι' ὑπομονῆς καὶ καρτερίας ἐκπληρῶσαι, ὅπερ προέθου· λέγει γὰρ ὁ θεῖος ἀπόστολος (141), ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν μέχρι τέλους καὶ ἐπιτελέσει. Ἀποτάσσῃ τῷ κόσμῳ καὶ τοῖς ἐν τῷ κόσμῳ; Ἀπόκρισις· Ναί, δι' ἁγίων εὐχῶν (σου), πάτερ ἅγιε. Παραμένετε τῷ μοναστηρίῳ καὶ τῇ ἀσκήσει ἕως ἐσχάτης ὑμῶν ἀναπνοῆς; Ἀπόκρισις. Φυλάττετε ἑαυτοὺς ἐν παρθενίᾳ καὶ σωφροσύνῃ ἕως ἐσχάτης ὑμῶν ἀναπνοῆς; Ἀπόκρισις. Σώζετε μέχρι θανάτου τὴν ὑπακοὴν τῷ προεστῶτι καὶ πάσῃ τῇ ἐν Χριστῷ ἀδελφότητι; Ἀπόκρισις. Ὑπομένετε πᾶσαν κακουχίαν, τοῦτ' ἔστιν πεῖναν καὶ δίψαν διὰ τὴν ἀγάπην τοῦ Θεοῦ; Ἀπόκρισις· Ναί, δι' ἁγίων εὐχῶν, πάτερ ἅγιε. Ὁ ἱερεὺς λέγει· Βλέπετε, τέκνα, ποίας συνθήκας δίδοτε τῷ Θεῷ, ἄγ(141 об.)γελοι γὰρ εἰσὶν οἱ ἀπογραφόμενοι τὴν ὁμολογίαν ὑμῶν τούτην, ἣν καὶ μέλλετε ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ Θεὸς φυλάξει ὑμᾶς ἐν ταύτῃ τῇ ὁμολογίᾳ καὶ τελείους ἀναδείξει δούλους αὐτοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Καὶ μετὰ (τὸ) συντάξασθαι αὐτούς, ποιεῖ τὴν εὐχὴν ὁ ἱερεύς· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ χορηγὸς τοῦ

ἁγίου καὶ ζωοποιοῦ Πνεύματος, ὁ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ ἐκκόψας τὴν ὑπερηφανείαν τοῦ ἀντικειμένου, καὶ ἐπιχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τὰς κεφαλὰς τῶν ἁγίων σου, καὶ στεφανῶν αὐτοὺς τῷ (142) ἀμαραντίνῳ καὶ ἀφθάρτῳ στεφάνῳ τῆς ζωῆς, καὶ ὁδηγῶν αὐτοὺς εἰς τὴν στενὴν ὁδόν, δι' ἧς εἰσῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπείληφαν τῇ ἐλπίδι τοὺς τόπους τῆς ἑαυτῶν ἀναπαύσεως. Αὐτὸς Δέσποτα Κύριε, χάρισαι τὴν παρὰ σοῦ δύναμιν καὶ χάριν τῆς σῆς θεότητος ἐπὶ τοὺς ἀδελφοὺς ἡμῶν τούσδε, τοὺς ψυχῇ καὶ σώματι προσελθόντας σοι, δεχόμενος παρ' αὐτῶν τὰς ἀπαρχὰς τοῦ ἁγίου σχήματος ἐν τῷ ὀνόματί σου, τῷ ἁγιάζοντι τὰ σύμπαντα, ἵνα καὶ αὐτοὺς ἁγιάσῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς.

Καὶ μετὰ τὴν εὐχήν, λέγει πρὸς αὐτοὺς ὁ ἱερεύς· Λάβετε τὸ ψαλλίδιον καὶ ἐπίδοτέ μοι αὐτό (142 об.).

Καὶ ἐπιδωσάντων αὐτῶν τὸ ψαλλίδιον, λέγει πρὸς αὐτοὺς ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Κυρίου λαμβάνετε αὐτό. Βλέπετε, τίνι προσέρχεσθε καὶ τίνι συντάσσεσθε καὶ τίνι ἀποτάσσεσθε. Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Καὶ κουρεύει αὐτοὺς σταυροειδῶς, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός, κ. τ. λ. εἴπωμεν ὑπὲρ αὐτοῦ, Κύριε ἐλέησον γ'.

Καὶ παραλαμβάνουσιν αὐτὸν οἱ μοναχοὶ καὶ κουρεύουσιν αὐτόν, ψάλλοντες τὸν Ἄμωμον. Καὶ μετὰ τὸ κουρευθῆναι αὐτόν, ἔρχεται καὶ ἵσταται ἔμ(143)προσθεν τοῦ ἱερέως. Καὶ λαβὼν τὸ κουκούλιον, βάλλει αὐτὸ τῷ ἀδελφῷ, λέγων ταῦτα· Ὁ ἀδελφὸς, ὁ δεῖνα, ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας εἰς περικεφαλαίαν, ἐλπίδα σωτηρίας, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εἴπωμεν.

Ὁ ἀδελφός, ὁ δεῖνα, λαμβάνει τὸ παλλίον ἐν ὀνόματι τοῦ Πατρὸς καὶ.

Καὶ μετὰ τοῦτο ποιεῖ τὴν εὐχήν· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις· εὐλόγησον καὶ τοὺς δούλους σου τούσδε καὶ φύλαξον αὐτοὺς ἐν τῷ ὀνόματί σου, χάρισαι αὐτοῖς μὴ εἰς κενὸν τρέχειν, ἀλλ' ἐν ἀληθείᾳ φεύγειν πᾶσαν κακίαν καὶ μεταδιώκειν πᾶσαν ἀρετὴν (143 об.). μετὰ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης εἰς τὸ ἐπιλαβέσθαι τῆς αἰωνίου ζωῆς, ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενοι καταξιωθῶσιν τοῦ κλή-

ρου τῶν ἁγίων ἐν τῷ φωτὶ τῆς δόξης σου. Ἐκφώνως· Σὸν γάρ ἐστιν τὸ ἔλεος (144).

Λπ. 144—170 οβ. Ἀκολουθία τοῦ μεγάλου σχήματος.

Ἀπὸ ἑσπέρας εἰς τὴν παννυχίδα τίθενται τὰ ἱμάτια τῶν μελλόντων κουρεύεσθαι εἰς τὸ θαλασσίδον. Καὶ λοιπὸν τὸ πρωὶ εἰς τὴν λειτουργίαν ἵστανται οἱ αὐτοὶ ἀδελφοὶ ἐν τῷ βασιλικῷ πυλῶνι, φορῶντες τὰ ἐξ ἔθους αὐτῶν ἱμάτια Καὶ λοιπὸν ἄρχεται ἀντίφωνον α'. Εὐλόγει ἡ ψυχή. Ἀντίφωνον β'. Αἶνει ἡ ψυχή. Εἶτα οἱ μακαρισμοί, ἦχος δ', πρὸς τό· Ὅτε ἐν τῷ πάθει. (λ. 144).

Ὅσοι τὰ ἐν κόσμῳ ποθεινά... Ὁ θέλων πάντας εἰς ἐπίγνωσιν ἐλθεῖν... Πάντων τῶν προσκαίρων... Πάσας τῆς σαρκὸς τὰς ἡδονάς (144 οβ.)... Τρίβον τὴν πλατείαν... Θεοτοκίον· Χαῖρε παρθενίας τὸ ὑπέρτιμον καλλώπισμα... Μετὰ δὲ τὴν εἴσοδον πρὸ τῆς εὐχῆς τοῦ Τρισαγίου δίδοται Σοφία, καὶ ἄρχονται τροπάρια ἦχος δ'· (λ. 145) Ἤνοικται ἡ θύρα τῆς μετανοίας...

στίχ. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσιν μοι. Ἤνοικται ὁ θύρα τῆς μετανοίας...

στ. Δεῦτε, τέκνα, ἀκούσατέ μου. Πλῦνον με τοῖς δάκρυσί μου, Σωτήρ...

στ. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιον... Πλῦνόν με τοῖς δάκρυσίν μου, Σωτήρ...

στ. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε (145 οβ.). Ζάλη ἁμαρτημάτων περιέχει με...

στ. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς. Ζάλη ἁμαρτημάτων περιέχει με...

στ. Ἀποκάλυψον τοὺς ὀφθαλμούς... Ἤθελον δάκρυσιν ἐξαλεῖψαι...

στ. Πάροικος ἐγώ εἰμι. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι... (146).

στ. Ὁδὸν ἀληθινὴν ἡρετισάμην, τὰ κρίματα. Τίς χειμαζόμενος καὶ προστρέχων...

στ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω. Τίς χειμαζόμενος καὶ προστρέχων...

στ. Ἐταπεινώθην ἕως σφόδρα. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου...

στ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με (146 οβ.). Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου...

στ. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με. Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως...

στ. Τὰ διαβήματά μου κατεύθυνον. Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως...

στ. Τὸ πρόσωπόν σου ἐπίφανον. Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης... (147).

στ. Δεῦτε, τέκνα, ἀκούσατέ μου. Καὶ τούτου τοῦ στίχου ψαλλομένου, εἰσέρχεται ὁ μέλλων κουρεύεσθαι ἕως τοῦ ἄμβωνος καὶ πάλιν ἵσταται. Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης...

στ. Ἀντιλαβοῦ μοῦ κατὰ τὸ ἔλεος. Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια...

στ. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρ(ίματα). Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια... (146 οβ.).

στ. Ἐλθέτωσάν με οἱ οἰκτιρμοί σου. Ὁ ζυγός μου χρηστός ἐστιν...

στ. Ἐκέκραξά σοι, σῶσόν με καὶ φύλαξον. Ὁ ζυγός μου χρηστός ἐστιν...

στ. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες...

στ. Ἐν τίνι κατορθώσει νεώτερος... Λεῦτε πρός με πάντες οἱ κοπιῶντες... (π. 148).

στ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας...

στ. Ἐξελεξάμην παραρίπτεσθαι. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας...

στ. Δεῦτε προσκυνήσωμεν. Καὶ τούτου ρεσκομένου, εἰσέρχονται καὶ πίπτουσιν ἔμπροσθεν εἰς τὰ ἅγια θύρια, καὶ ἐγειρόμενοι πάλιν ἵστανται.

Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... (148 οβ.).

στ. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου... Κύριε. Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Εἶτα δοξάζει καὶ λέγει θεοτοκίον· Ὁ διὰ σοῦ θεοπάτωρ προφήτης Δαβίδ.

Καὶ εἰθ οὕτως βάλλουσι τὴν μετάνοιαν οἱ ὀφείλοντες κουρεύεσθαι ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ἀνιστάμενοι, ἀπάρχεται ὁ ἱερεὺς οὕτως· Τί προσήλθετε, ἀδελφοί, προσπίπτοντες τῷ ἁγίῳ θυσιστηρίῳ καὶ τῇ ἁγίᾳ συνοδίᾳ ταύτῃ; Ποθεῖτε ἀξιωθῆναι τοῦ ἀγγελικοῦ σχήματος καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν μοναζόντων; Ὄντως καλὸν ἔργον καὶ μακάριον ἐξελέξασθε, ἀλλ' ἐὰν

καὶ τελειώσητε, τὰ γὰρ καλὰ ἔργα κόπῳ κτῶνται καὶ πόνῳ κατορθοῦνται. Ἐκουσίᾳ (149) ὑμῶν γνώμῃ προσέρχεσθε τῷ Κυρίῳ; Ἀπόκρισις· Ναί, δι' ἁγίων εὐχῶν σου, πάτερ. Ἐρώτησις· Μὴ - ἔκ τινος ἀνάγκης ἢ βίας; Ἀπόκρισις· Οὐχί, πάτερ. Ἐρώτησις· Ἀποτάσσεσθε τῷ κόσμῳ καὶ τὰ ἐν τῷ κόσμῳ κατὰ τὴν τοῦ Κυρίου ἐντολήν; Ἀπόκρισις· Παραμένετε τῷ μοναστηρίῳ καὶ τῇ ἀσκήσει ἕως ἐσχάτης ὑμῶν ἀναπνοῆς; Ἀπόκρισις· Φυλάττετε ἑαυτοὺς ἐν παρθενίᾳ καὶ σωφροσύνῃ καὶ εὐλαβείᾳ; Ἀπόκρισις· Σώζετε μέχρι θανάτου τὴν ὑπακοὴν τῷ προεστῶτι καὶ πάσῃ τῇ ἐν Χριστῷ ὑμῶν ἀδελφότητι; Ἀποκρισις· Ὑπομένετε πᾶσαν θλῖψιν καὶ στενοχωρίαν τοῦ μονήρους βίου διὰ τὴν βασιλείαν τῶν οὐρανῶν; Ἀποκρισις· Ναί, δι' ἁγίων εὐχῶν, πάτερ (149 об.). Βλέπετε, τέκνα, οἵας συνθύκας δίδοτε τῷ Δεσπότῃ Θεῷ· ἄγγελοι πάρεισιν ἀπογραφόμενοι τὴν ὁμολογίαν ὑμῶν ταύτην, ἣν καὶ μέλλετε ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὑφηγοῦμαι οὖν ὑμῖν τὴν τελειοτάτην ζωήν, ἐν ᾗ ἡ κατὰ μίμησιν τοῦ Κυρίου πολιτεία διαδείκνυται, διαμαρτυρόμενος, ἅπερ χρὴ ἀσπάσασθαι ὑμᾶς καὶ ὥνπερ δέον ἐκφυγεῖν. Ἡ ἀποτατὴ τοίνυν οὐδὲν ἄλλο καθέστηκεν, κατὰ τὸν εἰπόντα, εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία. Γινώσκετε τοιγαροῦν ἀσφαλῶς ἀπὸ τῆς παρούσης ἡμέρας σταυροῦσθαι καὶ (150) νεκροῦσθαι τῷ κόσμῳ καὶ τὸν κόσμον ὑμῖν διὰ τῆς τελειοτάτης ἀποταγῆς· ἀποτάσσεσθε γὰρ γονεῦσιν, ἀδελφοῖς, κ. τ. λ. Goar. pp. 407—409. Ἐρώτησις· Ταῦτα πάντα οὕτως καθομολογεῖτε (154) ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ καὶ ἐν τούταις ταῖς ὑποσχέσεσιν διακαρτερεῖν συντάσσεσθε μέχρι τέλους ζωῆς χάριτι Χριστοῦ; Ἀπόκρισις· Ναί, διὰ τῶν σῶν ἁγίων εὐχῶν, πάτερ. Εὐχὴ εἰθ' οὕτως· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγνα τῆς αὐτοῦ ἀγαθότητος... Goar. p. 409. Въ молитвѣ: τῶν ἁγίων καὶ ὁσίων πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου καὶ τῶν σὺν αὐτοῖς (155)...

Καὶ στραφεὶς ὁ ἱερεὺς ἐπιτίθησι τὴν χεῖρα ἐπὶ τὸν μέλλοντα (κουρεύεσθαι) καὶ λέγει· Κύριε, Κύριε, οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλήν, ἀλλὰ σὴν κραταιὰν καὶ βραχίονα ὑψηλὸν ἐπὶ τοὺς δούλους σου τούσδε καὶ δέομαι τοῖς σοῖς οἰκτιρμοῖς. Πρόσδεξαι τοὺς ἐν μετανοίᾳ σοι προσερχομένους ἐν τῇ ὥρᾳ ταύτῃ, ὁλοκαυτώματα λογικά, θυμίαμα πνευματικόν, λατρείαν ἐκούσιον, καὶ ἐγγράπτους ποίησον ἐν βίβλῳ ζώντων, κοινωνοὺς καὶ κληρονόμους ἀνάδειξον τῶν ἐκλεκτῶν σου τῆς ἐπουρανίου σου βασιλείας·

ἔνδυσον αὐτοὺς χιτῶνα δικαιοσύνης, ζῶσον αὐτοὺς ζώνην σωφροσύνης, περίθες αὐτοῖς τοῦ ζωοποιοῦ σταυροῦ τὸν τύπον, περίβαλε αὐτοῖς στολὴν ἀφθαρσίας, τοὺς (155 об.) πόδας αὐτῶν ὑπόδησον ἐν ἑτοιμασίᾳ τῆς εἰρήνης, τὸ φρόνημα αὐτῶν καθαρὸν διατήρησον ἀπὸ μιαρῶν ἐπιθυμιῶν, ῥῦσαι αὐτοὺς ἀπὸ φαντασμάτων, ἀπέλασον ἀπὸ τῆς καρδίας αὐτῶν πᾶν ψεῦδος, πάντα δόλον, πᾶσαν πλεονεξίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος, ἀπηλλοτριωμένην τοῦ σοῦ θελήματος, ποίησον αὐτοὺς πρόβατα τῆς τῶν σωζομένων ποίμνης, ἔνθα εὐφραινομένων καὶ ἑορταζόντων ἦχος ἀναπέμπεταί σοι τῷ φιλανθρώπῳ Θεῷ, ὅτι σὺ εἶ Κύριος ὁ Πατὴρ τῶν ὀρφανῶν καὶ δοτὴρ τῶν ἀγαθῶν καὶ σοὶ τὴν δόξαν, κ. τ. λ. (156).

Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει ἐπὶ τὰς κεφαλὰς τῶν λαμβανόντων τὸ σχῆμα τρίτον.

Καὶ τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἱερεὺς εὐχὴν ταύτην· Ὁ ὢν Δέσποτα παντοκράτωρ, ὕψιστε βασιλεῦ τῆς δόξης... Goar. pp. 409—410. Въ молитвѣ: ἐπίβλεψον ἱλεῷ ὄμματι ἐπὶ τὴν ταπείνωσιν τῶν δούλων σου τῶνδε, οἵτινες ἀνέθεντο καὶ καθωμολόγησαν ἐνώπιον πολλῶν μαρτύρων, σύναψον τῷ δωρηθέντι αὐτοῖς ἐκ προγόνων χαρίσματι τῆς υἱοθεσίας καὶ τῆς βασιλείας σου διὰ τοῦ βαπτίσματος τὸ μοναδικὸν τοῦτο καὶ ἀγγελοειδὲς ἐπάγγελμα (л. 157)... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου. Ὁ διάκονος· Τὰς κεφαλάς... Καὶ εἶθ' οὕτως ἐπεύχεται ὁ ἱερεὺς λέγων· Ἅγιε Κύριε τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐλόγησον τοὺς δούλους σου τούσδε, οὓς προσεκαλέσατο ἡ δεξιά σου εἰς τὸν πνευματικόν σου νυμφῶνα, καὶ καταξίωσον αὐτοὺς εἶναι σου ὁσίους (159) δούλους, σόφισον αὐτοὺς καὶ ἐπίχεε αὐτοῖς τὴν παρὰ τοῦ ἡγεμονικοῦ σου Πνεύματος χάριν καὶ σύνεσιν, κ. τ. λ. Goar. p. 410.

Εἶτα κρατήσας τῆς δεξιᾶς αὐτῶν χειρός, εἰσφέρει αὐτοὺς ἐν τῷ θυσιαστηρίῳ, καὶ ποιοῦσι μετάνοιαν ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ἀνιστάμενοι προσκυνοῦσιν τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ ἱερεὺς λέγει πρὸς αὐτούς· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. Βλέπετε, ὅτι οὐδεὶς ὑμᾶς ἀναγκάζει ἐλθεῖν ἐπὶ τούτῳ τῷ σχήματι· βλέπετε (л. 160), ὅτι ὑμεῖς ἐκ προθέσεως θέλετε τὸ ἀγγελικὸν σχῆμα τοῦτο. Καὶ ὅταν συντάξωνται, λέγει πρὸς αὐτοὺς πάλιν ὁ ἱερεύς· Λάβετε τὸ ψαλλίδιον καὶ ἐπίδοτέ μοι αὐτό. Καὶ ἐπιδοσάνων αὐτῶν τὸ ψαλλίδιον λέγει πρὸς αὐτοὺς ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνετε αὐτό· βλέπετε, τίνι προ-

σέρχεσθε, τίνι συντάσσεσθε καὶ τίνι ἀποτάσσεσθε· Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῶν χειρῶν αὐτῶν τὸ ψαλλίδιον, λέγει οὕτως· Εὐλογητὸς ὁ Θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ κουρεύει ἕκαστον αὐτῶν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα, κ. τ. λ. (160 об.). Καὶ εὐθὺς παραλαμβάνουσιν αὐτὸν οἱ μοναχοὶ εἰς τὸ διακονικὸν καὶ κουρεύουσι, λέγοντες τὸν Ἄμομον, ὁ δὲ διάκονος ἄρχεται τὴν συναπτήν, τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν τοῦ τρισαγίου. Ὁ διάκονος λέγει· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν, καὶ τὰ λοιπὰ ἕως τό· Ὑπὲρ πλεόντων, καὶ λοιπὸν ἐπισυνάπτει ταῦτα· Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶνδε καὶ τῆς παρὰ τοῦ Κυρίου σκέπης καὶ βοηθείας αὐτῶν, τοῦ Κυρίου.

Ὑπὲρ τοῦ ἀμέμπτως καὶ ἀκατακρίτως καὶ ἀνεμποδίστως τὸν σκοπὸν τοῦ μοναχικοῦ σχήματος διανῦσαι αὐτούς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι τὰς ψυχὰς αὐτῶν ἐν ἐγκρατείᾳ καὶ ἀσκήσει καὶ τελείῳ φόβῳ Θεοῦ, τοῦ Κυρίου δεηθῶμεν [1]).

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων αὐτῶν (161) καὶ τοῦ γενέσθαι αὐτοὺς ὑψηλοτέρους τῶν τοῦ κόσμου φρονημάτων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διάγειν αὐτοὺς ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι καὶ τελείῳ φόβῳ Θεοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτοὺς τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθαι τὸν νέον, τὸν κατ' εἰκόνα Θεοῦ κτισθέντα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης.

Ἐκφώνησις. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τήν. Εἶτα τὸ τρισάγιον, καὶ εἶθ' οὕτως προκείμενον ἦχος γ'· Κύριος φωτισμός μου, Κύριος ὑπερασπιστής... Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ (161 об.—162)... ἄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. δ' (162). Οὗτος ὁ πτωχὸς ἐκέκραξε... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὁ φιλῶν πατέρα... τὸν μισθὸν αὐτοῦ. + Τέλος τοῦ σχήματος· Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ... καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν +

---

1) Так. обр. прошеніе Ὑπὲρ τοῦ ἀπαλλαγῦναι πάσης κοσμικῆς ἐπιθυμίας, κ τ. λ. опущено.

(162 об. — 163)[1]). Καὶ βεσκομένου τοῦ εὐαγγελίου, φέρουσι τοὺς ἀποκαρθέντας οἱ μοναχοὶ μέσον τῆς βασιλικῆς πύλης φοροῦντας κολόβια καὶ ἅπτοντας κηρούς.

Καὶ μετὰ τὴν συμπήρωσιν τοῦ εὐαγγελίου, ἄρχεται ὁ κανονάρχης στιχηρά, ἦχ. α'· Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ (163)...

στ. Σῶσόν με. ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα. Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ...

στ. Μακάριοι πάντες οἱ φοβούμενοι (163 об.). Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας...

στ. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὸν αἰχμάλωτον. Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας...

στ. Ἐμεγάλυνεν Κύριος τοῦ ποιῆσαι. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου (л. 164) τὴν δύναμιν...

στ. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μῦστηρίου (164 об.)...

Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν στιχηρῶν, λαμβάνουσιν οἱ ἀνάδοχοι τὰ ἱμάτια ἐκ τοῦ θαλασσιδίου καὶ ἐνδύουσιν αὐτούς, τοῦ ἱερέως λέγοντος οὕτως· Οἱ ἀδελφοὶ ἡμῶν ὁ δεῖνα καὶ ὁ δεῖνα (л. 165) ἐνδύονται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, ἐν ὀνόματι τοῦ Πατρός κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἐνδύονται τὸ κουκούλιον τῆς ἀκακίας εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίας, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα λαμβάνουσι τὸν ἀνάλαβον, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Ὑιοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἀναλαμβάνοντες τὸν σταυρὸν ἐπὶ τῶν ὤμων καὶ ἀκολουθοῦντες τῷ Δεσπότῃ Χριστῷ, εἴπωμεν κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα περιζώννυνται τὴν ὀσφῦν αὐτῶν δύναμιν ἀληθείας, ἐν ὀνόματι τοῦ Πατρὸς κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα λαμβάνουσι (165 об.) τὸ παλλίον τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ὑποδύονται τὰ σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

Οἱ ἀδελφοὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔλαβον τὸ μοναδικὸν σχῆμα, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

---

1) Апостольское и евангельское чтенія имѣютъ въ рукописи надстрочные музыкальные знаки.

Καὶ μετὰ τὸ ἀμφιᾶσθαι (sic) αὐτούς, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, καὶ κλινόντων τοὺς αὐχένας, ὁ ἱερεὺς ἐπεύχεται, λέγων οὕτως· Κύριος ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου... Goar. pp. 411—412. Въ молитвѣ единственное число лица вездѣ замѣнено множественнымъ; вмѣсто χιτῶνι τὴν δικαιοσύνην (какъ у Гоара), стоитъ χιτῶνι τῆς δικαιοσύνης.

Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τοὺς δούλους σου εἰς τὴν πνευματικήν σου αὐλὴν καὶ συγκαταρίθμησον αὐτοὺς εἰς τὸ λογικόν σου (167 об.) ποίμνιον, καθαίρων τὰ φρονήματα αὐτῶν ἀπὸ σαρκικῶν ἐπιθυμιῶν καὶ τῆς κενῆς ἀπάτης τοῦ βίου· συνάγαγε δὲ αὐτοὺς ἀδιαλείπτως μνημονεύειν τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσί σε καὶ σταυρώσασιν ἑαυτοὺς τῷ βίῳ διὰ τὴν βασιλείαν σου· σὺ γὰρ εἶ ὁ ποιμήν... Μετὰ ταῦτα ἐπαίρει ὁ διάκονος τὸ εὐαγγέλιον καὶ ἵσταται ἔξω τοῦ θυσιαστηρίου. Καὶ προσκυνοῦσι πρῶτον οἱ λαβόντες τὸ σχῆμα καὶ ἵστανται πλησίον τοῦ διακόνου, τοῦ κατέχοντος τὸ εὐαγγέλιον, καὶ λοπόν. Εἰσέρχεται ὁ λοιπὸς λαὸς προσκυνεῖν τὸ εὐαγγέλιον, καὶ εἶθ' οὕτως ἀσπάζονται αὐτόν Καὶ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, εἰσερχομένων αὐτῶν εἰς τὸ θυσιαστήριον, ἄρχεται ὁ διάκονος (168).

Ὁ διάκονος· Εἴπωμεν πάντες· Κύριε ἐλεήσον. Καὶ λοιπὴ ἀκολουθία τελεῖται ἡ θεία λειτουργία. Τελεσθείσης δέ, ἅπτοντες οἱ μοναχοὶ κηρούς, συναπέρχονται μετὰ τῶν νεοφωτίστων εἰς τὴν τράπεζαν, τῶν ἀναδόχων κατεχόντων αὐτοὺς ἐκ τῆς δεξιᾶς χειρὸς καὶ οὕτως αὐτῶν ὀψικευόντων. Ἀπερχόμενοι δὲ ψάλλουσιν ἅπαντες τροπάριον ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε... Στ. α'. Ὁ ποιμαίνων τὸν Ἰσραήλ. Στ. β'. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ... Στ. γ'. Ἐξέγειρον τὴν δυναστείαν σου.

Εἶτα ἀνισταμένων αὐτῶν ἀπὸ τῆς τραπέζης, συνπέρχονται (μετ') αὐτῶν εἰς τὴν ἐκκλησίαν, ἐπιτελοῦντες τὰ προγεγραμμένα.

Τὰς δὲ ζ' ἡμέρας οἱ νεοφώτιστοι προσκαρτεροῦσιν τῇ ἐκκλησίᾳ, σχολάζοντες ἀπὸ τῶν ἔργων (л. 168 об.). Εὐχὴ εἰς τὸ ἀποκουκουλίσαι. Πολυέλεε Θεὲ καὶ Κύριε, ὁ δωρησάμενος τοῖς δούλοις (169)... Goar. p. 419. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὐχὴν λέγει· Τὸν τῇ πυρίνῃ κεφαλῇ τὴν ὑλαίαν κεφαλήν (170 об.)... Goar. p. 419.

Изъ того же Евхологія.

Лл. 231—255. Τάξις γινομένη ἐπὶ μέλλοντος λαμβάνειν τὸ ἅγιον καὶ ἀγγελικὸν σχῆμα. Почеркъ XIII в.

Ἀφ' ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος κουρεύεσθαι εἰς τὸ θυσιαστήριον καὶ ἀποτίθενται αὐτὰ ἐν τῷ θαλασσηδίῳ τῆς ἁγίας τραπέζης. Καὶ φάλλεται ὁ κανὼν εἰς τὴν παννυχίδα, εἰς δὲ τὴν λειτουργίαν ψάλλεται ἀντίφονον α'· Εὐλόγει ἡ ψυχή μου... Ἀντίφονον β' (231)· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Ἀντίφονον γ'· οἱ μακαρισμοί. Ἵσταται δὲ ὁ τὸ σχῆμα μέλλων λαμβάνειν, ἀρχομένου τοῦ πρώτου ἀντιφόνου τῆς λειτουργίας, ἔνδον τῆς βασιλικῆς πύλης, φορῶν τὰ ἐξ ἔθους ἱμάτια μέχρι τῆς εἰσόδου.

Ψάλλονται δὲ οἱ μακάρισμοι, ἦχος δ'· Ὅτε ἐν τῷ πάθει (об.)...

στ. Μακάριοι οἱ καθαροί. Ὅσοι τὰ ἐν κόσμῳ ποθεινά....

στ. Μακάριοι εἰρηνοποιοί. Ὁ θέλων πάντας εἰς ἐπίγνωσιν ἐλθεῖν (232)...

στ. Μακάριοι οἱ δεδιωγμένοι. Πάντων τῶν προσκαίρων...

στ. Μακάριοι οἱ ἐστέ. Πάσας τῆς σαρκὸς τὰς ἡδονάς (об)...

στ. Χαίρετε καὶ ἀγαλλιᾶσθε. Τρίβον τὴν πλατείαν...

Δόξα. Χαίροις παρθενίας τὸ ὑπέρτιμον καλλώπισμα...

Εἶτα ἡ εἴσοδος.

Καὶ ἄρχεται τὸ κατὰ (233) τὴν ἡμέραν τροπάριον, εἶτα δοξάζει εἰς ἦχον α'· Ἀγκάλας πατρικάς... Καὶ νῦν, καὶ λέγει θεοτοκίον. Εἶτα λέγει ὁ διάκονος· Σοφία.

Καὶ ἀρχόμενοι, ψάλλουσιν τὰ ἀντίφωνα, ἦχος δ'.

Ἤθελον δάκρυσιν...

στ. Ὡς ἀγαπητὰ τὰ σκηνώματα. Τίς χειμαζόμενος...

στ. Ἐξελεξάμην παραριπτεῖσθαι. Ἐν τῇ πηγῇ τῇ μυστικῇ (об.)...

Δόξα· Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν...

Καὶ εὐθὺς φέρουσιν ὁ (sic) τὸ σχῆμα μέλλων λαβεῖν ἐκ τῶν βασιλικῶν πυλῶν ὀλίγον.

Καὶ ψάλλει τὸ ἀντίφωνον·

Ζάλη ἁμαρτιμάτων... (234).

στ. Ἐλέησόν με, ὁ Θεός. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου...

στ. Ῥαντιεῖς με. Μὴ ἀπορρίψῃς με (об.)...
στ. Πλύνον με. Πλύνον με. τοῖς δάκρυσιν...

Δόξα· Ἐξ ἀχράντων λαγόνων (235)...

Ἀρχομένου δὲ τοῦ γ΄ ἀντιφώνου, μεθίσταται πάλιν ὁ τὸ σχῆμα λαμβάνων καὶ ἔρχεται ἕως τοῦ ἄμβωνος καὶ ἵσταται. Ἀντίφωνον γ΄, ἦχος δ΄·

Ποῦ ἐστὶν ἡ τοῦ κόσμου προσπάθεια (об.)...
ατ. Δεῦτε, τέκνα, ἀκούσατε. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες...
στ. Ἐπλανήθην ὡς πρόβατον (236). Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης...

Καὶ τούτου λεγομένου, ἔρχεται καὶ προσπίπτει εἰς τὰ ἅγια θυρία καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τοῦ ἀντιφώνου. Καὶ λέγει, ἦχος δ΄· Κύριε, Κύριε, ἐπίβλεψον... (об.), θεοτοκίον· Ὁ διὰ σου Θεοπάτωρ. Καὶ εἰθ' οὕτως ἀνισταμένου, ἐπερωτᾷ αὐτὸν ὁ ἱερεύς, λέγων·

Τί προσῆλθες, ἀδελφέ, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ τῇ ἁγίᾳ συνοδίᾳ ταύτῃ; Ἀπόκρισις· Ποθῶν τὸν ἀγγελικὸν βίον, πάτερ. Ἐρώτησις· Ποθεῖς ἀξιωθῆναι τοῦ ἀῤῥαβώνος τοῦ ἀγγελικοῦ σχήματος καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν μοναζόντων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ (237). Дальнѣйшіе вопросы и отвѣты, л. 237 об. и л. 238, см. Goar., p. 407. Послѣ вопросовъ:

Βλέπε, τέκνον, κ. τ. λ., какъ въ Евхологіи Московск. Синод. (б. патр.) библ. № 343, л. 24[1]). Ἐρώτησις· Ταῦτα πάντα οὕτως καθομολογεῖς ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσῃ μέχρι τέλους ζωῆς χάριτι Χριστοῦ; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Εὐχή· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος (238 об.—240)..., Goar. pp. 384—385.

Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει ἐπὶ τὴν κεφαλὴν τοῦ λαμβάνοντος τὸ σχῆμα τρίτον. Ὁ δὲ κατηχούμενος προσπίπτει ἕως συμπλήρωσιν τῆς εὐχῆς. Καὶ στραφεὶς ὁ ἱερεὺς (240) κατὰ ἀνατολὰς λέγει· Τοῦ Κυρίου δεηθῶμεν, καὶ λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας (240 об.—241 об.)..., Goar. p. 385. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς Τὰς κεφαλάς. Καὶ ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ κατα-

---

[1]) См. ниже.

φυγή (241 об.—242 об.)..., Goar. p. 385. Εἶτα ἐγείρει αὐτὸν καὶ (об.) κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρός, εἰσφέρει ἐν τῷ θυσιαστηρίῳ καὶ ποιεῖ μετάνοιαν. Καὶ ἀνιστάμενος προσκινεῖ τὸ ἅγιον εὐαγγέλιον. Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ κατηχητὴς λέγει πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστός, к. т. л., какъ въ Евхол. Московск. Синод. (б. патр.) библ. № 343, л. 29 [1]).

Καὶ ὅταν συντάξηται, λέγει πρὸς αὐτὸν πάλιν ὁ ἱερεύς· Λάβε τὸ ψαλλίδιον, καὶ ἐπίδος μοι αὐτό. Καὶ ἐπιδόντος αὐτοῦ τὸ ψαλλίδιον, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ, к. т. л. Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῆς χειρὸς αὐτοῦ τὸ ψαλλίδιον, λέγει οὕτως (123 об.)· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, к. т. л. Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ. συναποβαλλόμενος ταῖς θριξὶ καὶ τὰς κομισκὰς ἐπιθυμίας, εἰς τὸ ὄνομα к. т. л. (244). Καὶ ψάλλουσι τροπάριον, ἦχος πλ. δ'· Τὰ τῶν ἀγγέλων στρατεύματα παρίστανται σύμερον... Καὶ λέγει θεοτοκίον· Ἁγνὴ πάρθενε (об.). Καὶ εὐθὺς λαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικὸν καὶ κουρεύουσι, ψάλλοντες τὸν Ἄμωμον. Καὶ τοῦ ἱερέως ποιοῦντος τὴν εὐχὴν τοῦ τρισαγίου, λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ, к. т. л. (245—246 об.), Goar. pp. 412—413. Ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. Εἶτα τὸ τρισάγιον. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Τὸ προκείμενον, ἦχος γ'· Κύριος φωτισμός μου. Ст. Κύριος ὑπερασπιστής. Апостолъ и евангеліе (246 об. и 249), Goar. p. 387.

Καὶ ἀπὸ τοῦ εὐαγγελίου φέρουσι τὸν ἀδελφὸν οἱ μοναχοὶ μέσον τῆς βασιλικῆς πύλης ἢ καὶ ἕως τῶν ἁγίων θυρῶν τοῦ θυσιαστηρίου φοροῦντα κολόβιον καὶ ἅπτοντα κηρούς (sic). Λέγει ὁ ἱερεύς· Σοφία, καὶ ἄρχονται ἀντίφωνα, ἦχος α'·

Ἠνοίκται ἡ θύρα τῆς μετανοίας (249)...
ст. Προσέχετε λαός μου. Ὁ ζυγός μου χρηστός ἐστιν...
Δόξα· Ἡ λαμπὰς ἡ ἄσβεστος...

Καὶ εἰσελθόντος τοῦ κουρευομένου καὶ τοῦ ἀναδόχου εἰς τὸ βῆμα, ἐπαίρονται τὰ ἱμάτια ἐκ τοῦ θαλασσιδίου, καὶ ἐνδύει αὐτὸν ὁ (об.) ἀνάδοχος αὐτοῦ, λέγοντος τοῦ ἱερέως ταῦτα·

Τὸ ἱμάτιον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως, τὸν ἀῤῥαβῶνα τοῦ μέγαλου καὶ ἀγγελικοῦ σχήματος, к. т. л.

---

[1]) См. ниже.

Ἡ ζώνη· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὁσφῦν αὐτοῦ δύναμιν ἀληθείας, ἐν ὀνόματι κ. τ. λ.

Καὶ ψάλλεται τροπάριον, ἦχος δ'· Ἐνδύσασθε χι(250)τῶνα...

Καὶ δεύτερον τροπάριον αὐτό.

Τὸ σουδάριον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιβάλλεται τὸ σουδάριον τοῦ ἁγίου σχήματος εἰς σκεπὴν καὶ σωτηρίαν, εἰς τὸ ὄνομα κ. τ. λ.

Τὸ παλλίον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμ(об.)βάνει τὸ παλλίον, τὸν ἀῤῥαβῶνα τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα κ. τ. λ.

Τὰ σανδάλια Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια τῆς ἑτοιμασίας τῆς εἰρήνης, εἰς τὸ ὄνομα κ. τ. λ.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μοναδικὸν σχῆμα, εἰς τὸ ὄνομα κ. τ. λ.

Καὶ ψάλλεται τὸ αὐτὸ τροπάριον, ἦχος δ'· Ενδύσασθε χιτῶνα... ст. Αὐτὴ ἡ πύλη τοῦ Κυρίου (251), ст. Ἀγαλλιᾶσθε Θεῷ. На слава и нынѣ: Ἔχοντες σε, Θεοτόκε...

Καὶ μετὰ τὸ ἀμφιασθῆναι αὐτόν, λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ κλίνοντος αὐτοῦ τὸν αὐχένα, ποιεῖ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν (251 об.—252 об.)... Goar. p. 379.

Далѣе положенъ обрядъ лобызанія братіей новопостриженнаго монаха, при пѣніи тропаря: Ἀγαλλιάσθω ἡ ψυχή μου, со стихами, и богородична: Χαῖρε, Θεοτόκε παρθένε (лл. 252 об.—254). По окончаніи литургіи монашествующіе идутъ на трапезу съ пѣніемъ тропаря: Κύριε, Κύριε, ἐπίβλεψον (лл. 254—255)...

III.

Изъ Сборника, принадлежащаго проф. А. А. Дмитріевскому. Ркп. XI—XII в., лл. 82—94.

Лл. 82—83. Σὺν Θεῷ τάξις καὶ ἀκολουθία τοῦ ἁγίου σχήματος.

Εὐχὴ εἰς τὸ κουρεῦσαι λαικόν, ἐρχόμενον εἰς τὸ μοναστήριον.

Ὁ διάκονος λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς εὔχεται, λέγων· Ἅγιε, ἀγαθέ, ὁ τοῦ ἁγίου Πατρὸς Υἱός, ὁ τὴν ὑπερηφανείαν ἐκκόπτων, κ. τ. λ. (82 и об.). См. ркп. Іерусалимской патріаршей библ. XV в. № 73 (274); Εὐχολ., 505. Ἐκφώνησις Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοι. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ Θεὸς ὁ μεγαλόδωρος, ὁ ἑλκύσας τὸν δοῦλόν σου τόνδε, κ. τ. λ.; ibid. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς... Καὶ εὐθὺς κουρεύει αὐτὸν σταυροειδῶς καὶ ἐνδύει αὐτὸν τὸ στιχάρι(ο)ν μαῦρον καὶ μικρὸν κουκούλλιον καὶ ζώνην δερματίνην. Καὶ λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς εὔχεται· Δέσποτα Κύριε, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ πλούσιος ἐν ἐλέει, κ. τ. λ. (82 об.—83); ibid. Καὶ εὐθὺς ἀσπάζουσιν αὐτὸν οἱ ἀδελφοί, καὶ ἀπολύει (83).

Л. 83. Τάξις ἐπὶ πρόσχημα μοναχοῦ.

Εἰσφέρονται (sic) οἱ ἀδελφοὶ τὸν μέλλοντα κουρεύεσθαι εἰς τὸ διακονικόν, καὶ ἐπιτίθεται τὸ φαλλίδιον ἐπὶ τὸ παρατράπεζον. Καὶ λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Εὔχεται ὁ ἱερεύς, λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας, κ. τ. λ. (83 и об.); Goar. p. 385. Ἐκφώνησις· Ὅτι εὐλόγηται καὶ δεδόξασται. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς εὔχεται· Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ κατὰ τὸ πολὺ

ἔλεός σου, κ. τ. λ.; Goar. p. 378. Ἐκφώνησις· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς. Εἶτα ἐγείρει αὐτὸν ὁ ἱερεύς, καὶ λαβῶν ὁ μέλλων κουρεύεσθαι τὸ ψαλλίδιον, δίδωσιν αὐτὸ τῷ ἱερεῖ. Ὁ δὲ ἱερεύς, λαβῶν αὐτό, λέγει ἐκφώνησιν· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, κ. τ. λ. Καὶ κουρεύει αὐτὸν ὁ ἱερεὺς σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἴπωμεν ὑπὲρ αὐτοῦ· Κύριε ἐλέησον, γ'. Καὶ ἐνδύει αὐτὸν τὸ παλλίον (83 об.). На сихъ словахъ рукопись обрывается.

Л. 84 начинается словами: σοῦ βασιλείας τὴν ἀπόλαυσιν ἑτοιμάσας. Αὐτὸς καὶ νῦν, Δέσποτα, τὸν δοῦλόν σου τόνδε, κ. τ. λ. Это—окончаніе молитвы Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, κ. τ. λ., положенной въ Барберіновскомъ Евхологіи св. Марка при снятіи кукуля въ 8-ой день; см. выше, с. 6 „Приложеній"; Goar. p. 420. По возгласѣ: Χάριτι καὶ φιλανθρωπίᾳ, замѣчено: Καὶ ἀπολύει αὐτὸν μετὰ εἰρήνης (84).

Лл. 84—86. Εὐχὴ ἐπὶ πρόσχημα τῶν μοναστριῶν. Ἐπιτίθεται τὸ ψαλλίδιον ἐπάνω τοῦ ἁγίου εὐαγγελίου. Καὶ λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς ἐπεύχεται, κλίναντες τὴν κεφαλήν (84)· Δέσποτα ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς ἐκ παρθένου σαρκώσεως τοῦ μονογενοῦς σου Υἱοῦ τὴν παρθενίαν ἡμῖν χαρισάμενος καὶ τὸ γένος τῶν γυναικῶν δι' αὐτῆς τῆς ἁγίας ἀχράντου καὶ ἀειπαρθένου Μαρίας πρὸς πᾶσαν ἀρετὴν καταρτήσας, δεόμεθα σου, φιλάνθρωπε, πρόσδεξαι καὶ τὴν δούλην σου τήνδε, παρθενεύειν σοι ἐπαγγειλαμένην, καὶ πᾶσαν κοσμικὴν ματαιότητα σὺν τῇ ἀφαιρέσει τῶν τριχῶν καὶ τοῦ ἀπατηλοῦ κόσμου ἀποβολὴν καταξίωσον, εὐλόγησον αὐτὴν καὶ ἁγίασον, καὶ τὴν ἐπαγγελίαν τῆς παρθενίας αὐτῆς μέχρι τέλους εὐλαβῆ καὶ ἀμόλυτον πρὸς ἐργασίαν τῶν ἐντολῶν σου. Ἵνα ἐν αὐταῖς ἀπεριπάστως πολιτευσαμένη, τύχῃ καὶ τῆς παρὰ σοῦ τελείας χάριτος. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας, κ. τ. λ. (84 об. 85); Goar. p. 382.

Εἶτα ἐγείρει αὐτὴν ὁ ἱερεύς, καὶ λαμβάνων ὁ μέλλων (sic) κουρεύεσθαι τὸ ψαλλίδιον καὶ δίδωσι αὐτὸ τῷ ἱερεῖ. Ὁ δὲ ἱερεὺς λαβῶν, ἐκφωνεῖ λέγων· Εὐλογητὸς ὁ

Θεός, ὁ θέλων πάντας. Καὶ κουρεύει αὐτὴν ὁ ἱερεὺς σταυροειδῶς. λέγων οὕτως· Ἡ ἀδελφὴ ἡμῶν ἡ δεῖνα [1]) κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτῆς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εἴπωμεν (85) ὑπὲρ αὐτῆς· Κύριε ἐλέησον γ'. Καὶ ἐνδύει αὐτὴν στιχάρι(ο)ν μαῦρον καὶ μαντίον, λέγει τοῦτο· Ἐνδύεται ἡ ἀδελφὴ ἡμῶν ἡ δεῖνα [2]) τὸν χιτῶνα τοῦ προσχήματος εἰς ἱμάτιον δικαιοσύνης καὶ ἀγαλλιάσεως, ἐν ὀνόματι κ. τ. λ. Κἀκείνη κλίνασα τὴν κεφαλήν, ὁ διάκονος λέγει Ἔτι τοῦ. Ὁ ἱερεὺς εὔχεται·

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ εἰδὼς τὰ πάντα προγεγονότα, καὶ τὰ ὄντα, καὶ τὰ ἐσόμενα, ὁ τὰ ἄδηλα καὶ τὰ κρύφια, καὶ τὸν νοῦν τῶν ἀνθρώπων ἐπιστάμενος, ὁ πρὸ τοῦ ἐνθυμίου γενώσκων τὸ ἐνθύμιον· ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου ἐξ ἑτοίμου κατοικητηρίου σου ἐπὶ τὴν δούλην σου τήνδε, τὴν προσιοῦσάν [3]) σοι, ἐναρχομένην [4]) τῆς μονήρους καὶ πνευματικῆς πολιτείας, καὶ προαιρετηκὴν ἀποταγὴν τῶν τοῦ βίου τερπνῶν αὐτῆς χάρισαι, ἵνα διὰ τῆς ἀποθέσεως τῶν τῆς κεφαλῆς τριχῶν τούς τε πονηροὺς λογισμοὺς καὶ τὰς ἀτόπους ἀπώσηται (85 об.) πράξεις καὶ δέξηται τὴν τοῦ ἁγίου Πνεύματος χάριν (καὶ) βοήθειαν. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ποίησον μετὰ τὴν δούλην σου τὰ ἐλέη σου, ὅπως ἐν καθαρᾷ καρδίᾳ ποθήσεται καὶ προθύμως τῷ χριστῷ σου ζυγῷ τὸν ἑαυτῆς αὐχένα ὑποκλίνας (καὶ) ἀραμένη, ἐκφύγῃ τελείως τὰς κοσμικὰς ἐπιθυμίας καὶ ἡδονάς, καὶ τὸν πλάνον κόσμον, καὶ κοσμοκράτωρα σὺν πᾶσι τοῖς τῆς πονηρίας πνεύμασιν, καὶ ἀξίως γένηται τοῦ πνευματικοῦ νυμφῶνος, ἵνα ἐν ὑπομονῇ, καὶ σεμνότητι καὶ πολιτείᾳ ἁγνῇ, καὶ ἐναρέτως ἐν ταῖς ἐντολαῖς σου, καὶ τοῖς προστάγμασίν σου ἀξίως τῆς κλήσεως, ἧς ἐκλήθη, τὸν τῆς παρεπιδημίας αὐτῆς χρόνον ἀναστρεφομένη, καταξιωθῇ καὶ τὰ τελεώτερα καὶ θειότερα πράξῃ καὶ θεωρίᾳ κατοπτεύσαι μυστήρια, καὶ κληρονόμος γένηται τῆς ἀνεκλαλήτου χάριτος καὶ δόξης ἐν τῇ βασιλείᾳ σου. Ἐκφώνησις Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς.

Καὶ ἀπολύει αὐτὴν μετὰ εἰρήνης (86).

---

1) Въ рукописи стоитъ ὁ δεῖνα.
2) Тоже.
3) Въ рукописи τὸν προσιόντα.
4) Въ рукописи ἐναρχόμενον.

Лл. 86—89 об. Ἀκολουθία τοῦ ἁγίου καὶ μεγάλου σχήματος τῶν (86) μοναστριῶν.

Γενομένης τῆς θείας λειτουργίας, ψάλλουσι γ΄ ἀντίφωνα· ἵσταται δὲ ὁ (sic) τὸ σχῆμα μέλλων λαβεῖν [1]) ἔνδον τῆς βασιλείας πύλης, φορῶν τὰ προσυνήθη καθημερινὰ ἱμάτια αὐτῆς· καὶ μετὰ τὴν εἴσοδον λέγεται ἀντίφωνον α΄, ἦχος δ΄.

Ἠθελον δάκρυσιν.
στ α΄. Ὡς ἀγαπητά.
Τίς χειμαζόμενος.
στ. β΄. Ἐξελεξάμην.
Ἐν τῇ πηγῇ μυστικῇ.
Δόξα, θεοτοκίον Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀνάγκων.

Ἀρχομένου δὲ τοῦ β΄ ἀντιφώνου, ἄγουσιν αὐτὴν ἕως τῆς μέσης ἐκκλησίας, ψάλλοντες τὸν ἀντίφωνον β΄, ἦχος δ΄.

Ζάλη ἁμαρτημάτων.
στ α΄· Εἰπάτωσαν οἱ λελυτρωμένοι.
Ἀντιλαβοῦ μου κατά.
στ. β΄ Ῥαντιεῖς με ὑσσώπῳ.
Πλῦτον με τοῖς δάκρυσιν.
Δόξα· Ἐξ ἀχράντων λαγόνων σου.

Καὶ ἀρχομένου δὲ τοῦ γ΄ ἀντιφώνου, φέρουσιν αὐτὴν ἕως τοῦ ἄμβωνος, καὶ στίχη ἀντίφωνον γ΄, ἦχος δ΄.

Ποῦ ἐστὶν ἡ τοῦ κόσμου.
στ. β [2]). Δεῦτε, τέκνα, ἀκούσατε.

Καὶ τούτου λεγομένου, ἄγουσιν αὐτὴν εἰς τὴν σωλέαν κακεῖ ἱστᾶσι, τροπάριον·

Δεῦτε πρός με πάντες.
στ. α΄. Ἐπλανήθην ὡς πρόβατον.
στ. β΄. Πρόβατον εἰμὶ τῆς λογικῆς (об.).
Δεῦτε προσκυνήσωμεν.

Καὶ τούτου λεγομένου, φέρουσιν αὐτήν, καὶ προσπίπτει ἐνώπιον ἅγια θύρια, καὶ οὐκ ἀνίσταται μέχρι συμπληρόσεως τοῦ ἀντιφώνου. Καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατωλάς, ψάλλει τὸ τροπάριον σὺν τῷ ὄχλῳ, ἦχος δ΄· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ. Δόξα· Ὁ διὰ σοῦ Θεοπάτωρ.

---

[1]) Въ рукописи стоитъ λαβῶν.
[2]) Sic.

Καὶ εἰθ' οὕτως ἀνισταμένης αὐτῆς, καὶ ἐπερωτᾷ αὐτὴν ὁ ἱερεύς, λέγων· Τί προσῆλθες ἐνταῦθα, ὦ ἀδελφή, προσπίπτουσα [1]) ἁγίῳ θυσιαστηρίῳ καὶ τῇ ἁγίᾳ συνοδίᾳ ταύτῃ; Ἀπόκρισις· Πρὸς τὸ κεῖραι με μοναχήν, πάτερ, καὶ τῷ Χριστῷ προσταγαγεῖν. Ὁ ἱερεὺς λέγει·

Τέκνον, εἰ ποθεῖς τὸν βίον τῆς ἀσκήσεως, καθαρῶς καὶ ἀδιστάκτως πρόσελθε τῷ Δεσπότῃ Χριστῷ, ἐκβιαζόμενος τὴν Αὐτοῦ ἄφατον φιλανθρωπίαν δι' ἐγκρατείας καὶ διηνεκοῦς προσευχῆς. Βλέπε, τέκνον, ὅτι διὰ πυρὸς ἀπροσωπολήπτου μέλλει σου τὸ ἔργον τῆς ἀσκήσεως δοκιμάζεσθαι ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, καὶ καθὼς κοπιάσῃς, οὕτως καὶ τὸν μισθὸν λήψει(ς) πάντων οὐρανίου Μόσχου. Δι' ὧν ὁ τῆς κα(87)κίας ἐπεισέρχεται δράκων· πορνείας, δι' ἧς ὁ ἁγιασμὸς τοῦ σώματος μιαίνεται· φιλαργυρίας, τῆς χωριζούσης ἀπὸ Θεοῦ· ἔριδος, τῆς γεννητρίας πάντων τῶν κακῶν· μέθης, τῆς σκοτιζούσης τὸν νοῦν τῶν ἀνθρώπων· τρυφῆς, τῆς ἀποστερούσης τῶν αἰωνίων ἀγαθῶν. Μὴ οὖν χλευασθῇς ἔν τινι· οὔτε γὰρ ἔχει δύναμιν ὁ ἐχθρὸς προφανῶς βλάψαι σε, εἰ μὴ μόνον λογισμοῖς τοξεῦσαι. Ἔστιν δὲ ἀναιδὴς καὶ τολμηρός, οὐ παρθενίαν αἰδούμενος, οὐ σωφροσύνην τιμῶν, οὐ κάλλει τινὸς δυσωπούμενος, τρόπους πειρασμῶν ἐπισείων, λοιδορίαις τοξεύων, ἀσθενείαις μαστίζων. Καὶ ὅταν εὕρῃ σε τὰ πάντα ὑπομείναντα, πάλιν ἐπιφέρει ἀκηδίαν καὶ ὀκνηρίαν· ὑπομιμνήσκει γάρ σε τῶν γονέων τὸν πόθον, ἀδελφῶν στοργήν, φίλων συνδίαιταν, χρημάτων ἐπιθυμίαν, τρυφῆς ἀπάτην καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου· ἔστιν γὰρ πολύτροπος ἐπὶ τὸ παροδηγῆσαι καὶ ἀπολέσαι σε· πάλιν ἐξευτελίζει σου τὴν ἄσκησιν, ὡς τῷ Θεῷ μὴ ἀρέσκουσαν· χωρισμόν σοι ὑποτίθεται τῆς ἐναρέτου συνοδίας καὶ πάντα ποιεῖ, ἵ(οб.)να σε τῆς ἀγγελικῆς πολιτείας παρεμποδίσῃ. Σὺ οὖν, ὦ τέκνον, στῆθι ἑδραῖος ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ἐν ἀγρύπνῳ προσευχῇ, ἐν διηνεκεῖ νήψει, ἐν ἀπεριλήπτῳ ἐγκρατείᾳ, ἐν ἀγογγύστῳ ὑπηρεσίᾳ· εὐλόγει τοὺς καταρωμένους σε, ἀγαθοποίει τοὺς ἐπηρεάζοντας, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδίδου, ἵνα γένῃ τέκνον φωτὸς καὶ ἡμέρας· στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Βλέπε, τέκνον, ὅτι ἄγγελοι σὺν ἡμῖν ἀοράτως παρίστανται, δεχόμενοί σου τὰς πρὸς Θεὸν συνθήκας, καὶ χαί-

---

1) Въ рукописи стоитъ προσπίπτον.

φουσιν ἐπί σοί, εἰ βλέπει ἐν καλῇ[1]) πολιτείαν ἀναλαμβάνοντα. Νῦν σκιρτῶσι τῶν ἁγίων ὁ δῆμος, νῦν εὐφραίνονται τῶν ὁσίων τὰ πνεύματα, νῦν φαιδρύνονται τῶν παρθένων τὰ τάγματα, νῦν μελῳδεῖ ὁ προφήτης Δαβὶδ καὶ ἀνακράζει λέγων· νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Πάντων δὲ εὐφραινομένων, μόνος θρηνεῖ ὁ διάβολος, βλέπων σε ἐν σώματι τὸν ἀσώματον βίον ἀ(88)ναλαμβάνοντα· ὅθεν ἐπιτηρεῖ σου καὶ νοῦν, καὶ λόγον, καὶ ἐνθύμημα, καὶ κίνημα, ἵνα κατηγορήσῃ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς ἀπολογίας σου. Βλέπε, τέκνον, τῷ ὑπὸ Κυρίου δοθέντι σοι ἡγουμένῳ τὴν πρέπουσαν τιμὴν καὶ ἀδιάκριτον ὑπακοὴν πρόσφερε, ὡς εἰδώς, ὅτι εἴ τι αὐτοῦ παρακούεις, εἰς Θεὸν ἁμαρτάνεις. Τὴν ἐν Κυρίῳ ἀδελφότητα τίμα καὶ ὑπάκουε μετὰ πάσης ταπεινοφροσύνης, ἵνα τῆς βασιλείας τῶν οὐρανῶν κληρονόμος ἀναδειχθείης. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ. Ἐρώτησις· Ταῦτα πάντα οὕτως καθομολογεῖς ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσῃ μέχρι τέλους ζωῆς σου, χάριτι Χριστοῦ; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Εἶτα στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολάς, εὔχεται λέγων· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, κ. τ. λ. (88 об.—89 об.), Goar. p. 409. Въ молитвѣ читается: ἀξιῶν σε καὶ τῆς μερίδος τῶν ἁγίων καὶ ὁσίων πατέρων ἡμῶν· Ἀντωνίου, Εὐθυμίου, Συμεών, Θεοδοσίου καὶ τῶν σὺν αὐτῶν, ἁγίων μητέρων ἡμῶν· Φεβρωνίας, Εὐπραξίας καὶ Ματρώνας (89).

Καὶ στραφεὶς ὁ ἱερεὺς, σφραγίζει ἐπὶ τὴν κεφαλὴν αὐτῆς γ΄· καὶ στραθῆναι (κατὰ) ἀνατολάς· καὶ πίπτει ὁ κατηχούμενος ἕως τῆς συμπληρώσεως τῆς εὐχῆς ταύτης καὶ κεφαλοκλήσεως. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς εὔχεται, λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παντοκράτωρ, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγὼν καὶ ἀπορρυέντας[2]) ἀνακαινήσας διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦ σου Υἱοῦ, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν καὶ ζῆν αὐτόν, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· πρόσδεξε τὴν δούλην σου τήνδε, τὴν φυγόντα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ σκάνδαλα, καὶ πρός σε καταφυγόντα, καὶ ἀραμένην τὸν ζυγὸν τοῦ Χριστοῦ τὸν χρηστὸν καὶ ἀγαπή-

---

[1]) Текстъ въ данномъ мѣстѣ, кажется, испорченъ.

[2]) Не слѣдуетъ ли читать ἀπορριθέντας?

σαντα τὰς ἐντολάς σου, καὶ ἄφες αὐτὴν τὰ πρότερα ἁμαρτήματα, καὶ ἀποκάθαρον αὐτὴν ἀπὸ πάσης κηλίδος ψυχικῆς καὶ σωματικῆς, καὶ ἴασαι αὐτῆς (об.). На этомъ текстъ обрывается.

Л. 90. τέλος, σὲ γὰρ τὴν πανάχραντον ἀντιλήπτωρα κεκτήμεθα. Эти слова представляютъ собою окончаніе Богородична: Υἱόν σου τὸν εὔσπλαχγνον 9-й пѣсни канона великой схимы: Δεῦτε λαοί, Goar, pp. 403—405.

Лл. 90 — 92 об. Ἕτερος κανὼν τοῦ ἁγίου καὶ μεγάλου σχήματος. Ὠδὴ α', ἦχος πλ. β'. Βοηθὸς καὶ σκεπαστής. Νῦν καιρὸς πνευματικός. κ. τ. λ.

Лл. 92 об. — 94 об. Апостольскія и евангельскія чтенія изъ чина постриженія въ монашество.

Προκείμενον· Κύριος φωτισμός μου. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε ὡς ἐκλεκτοί, κ. τ. λ. конецъ: ἄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, κ. τ. λ. Goar. p. 413.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος, ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, κ. τ. λ. конецъ: ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὁ φιλῶν πατέρα, κ. τ. λ. Goar. p. 413.

Изъ того же Сборника.

Схиматологій XIII в., лл. 1—26.

Лл. 1—4 об. Ἀκολουθία τοῦ μικροῦ σχήματος.

Μετὰ τὰ ἀντίφωνα, γενομένης τῆς εἰσόδου, ψάλλεται εἰς τὸ Δόξα τὸ τροπάριον τῆς ἡμέρας, εἰς δὲ τὸ Καὶ νῦν ἀλλάστουσιν οἱ ψάλται, ἦχος α'· Ἀγκάλας πατρικάς. Ὁ δὲ ἐκκλησιάρχης εἰσοδεύει μετὰ τοῦ μέλλοντος κουρευθῆναι ἀδελφοῦ καὶ βαλὼν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Ἐξελθὼν ὁ ἡγούμενος ἐκ τοῦ ἁγίου θυσιαστηρίου, ἀνίστησιν αὐτόν. Καὶ δίδονται πᾶσι τοῖς ἀδελφοῖς ἀνὰ κηρίου, καὶ ἅπτουσιν αὐτά. Ὁ δὲ ἡγούμενος ἐπερωτᾶ αὐτόν, λέγων·

Ἐρώτησις· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ τῇ ἁγίᾳ συνοδίᾳ ταύτῃ; Ἀπόκρισις· Ποθῶν τὸν βίον τῆς ἀσκήσεως, πάτερ. Вопросы игумена и отвѣты на нихъ принимающаго постригъ, л. 1 и об.,—тѣ же, какіе читаются у Гоара, p. 383, но съ добавленіемъ вопроса объ отреченіи отъ міра, какъ ibid., p. 388: Variae lectiones, g.

Послѣ вопросовъ и отвѣтовъ, игуменъ снова обращается съ вопросомъ къ постригающемуся: Ταῦτα πάντα οὕτως καθομολογεῖς ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσῃ μέχρι τέλους ζωῆς, χάριτι Χριστοῦ; Ἀπόκρισις· Ναί, τοῦ Θεοῦ συνεργούντος, τίμιε πάτερ (об.). Εἶτα κλίνει τὴν κεφαλὴν μικρόν, καὶ τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ἐπάνω τῆς κεφαλῆς τὸ σχηματολόγιον καὶ λέγει τὴν εὐχὴν ταύτην· Ὁ πανοικτίρμων οὖν ὁ Θεὸς καὶ πολυέλεος (2 и об.)... Goar. pp. 384—385. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... Goar. p. 385. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Καὶ πάλιν ὁ ἱερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων (2 об.—3)... Goar. p. 385. Καὶ ὑποδεικνὺς αὐτῷ τὸ ἅγιον εὐαγγέλιον, λέγει· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι, κ. τ. λ. Goar. p. 385.

Καὶ λέγει πρὸς αὐτὸν ὁ ἡγούμενος· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτό. Εἶτα αἴρει τὸ ψαλλίδιον ἀπὸ τοῦ ἁγίου εὐαγγελίου ὁ μέλλων ἀποκαρῆναι ἀδελ-

φὸς καὶ δίδωσι τῷ ἡγουμένῳ. Καὶ λαβὼν ὁ ἡγούμενος τὸ φαλλίδιον, λέγει· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό. κ. τ. λ. Εὐλογητὸς ὁ Θεός. ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, κ. τ. λ. Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον, γ'.

Τὸ ἱμάτιον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιωσύνης καὶ ἀγαλλιάσεως τοῦ ἀγγελικοῦ σχήματος (3 об.), εἰς τὸ ὄνομα τοῦ Πατρός. κ. τ. λ.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον, τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, εἰς τὸ ὄνομα τοῦ Πατρός, κ. τ. λ.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ [1]).

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης. ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μοναδικὸν σχῆμα, ἐν ὀνόματι τοῦ Πατρός κ. τ. λ.

Παραλαβόντες δὲ αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικὸν ἢ εἰς τὸν νάρθηκα κουρεύουσιν, ψάλλοντες τὸν Ἀμωμον. Ὁ δὲ διάκονος λέγει τὴν συναπτὴν τοῦ Τρισαγίου. Ὁ δὲ ἱερεύς, εἰπὼν καὶ αὐτὸς τὴν τοῦ Τρισαγίου εὐχήν, αὐτίκα ἐκφωνεῖ· Ὅτι ἅγιος εἶ ὁ Θεός. Ὁ λαὸς τὸ Τρισάγιον. Καὶ καθεξῆς τελεῖται ἡ θεία λειτουργία. Εἶτα ὁ κουρευθείς, εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, ἀσπάζεται τοὺς ἀδελφοὺς καὶ ἵσταται, βαστάζων τὴν λαμπάδα αὐτοῦ μέχρι τῆς ἀπολύσεως (4). Οφικεύει δὲ καὶ τὰ Ἅγια μετὰ τῆς λαμπάδος αὐτοῦ. Μετὰ δὲ τὴν ἀπόλυσιν, ἀπέρχονται οἱ αδελφοὶ μετὰ τοῦ ἀποκαρέντος εἰς τὴν τράπεζαν, ἅπτουσι δὲ καὶ τοὺς κηροὺς αὐτῶν, ψάλλοντες τροπάριον, ἦχος πλ. β'·

Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ...

+ Τέλος τοῦ μικροῦ σχήματος (об.).

Лл. 4 об. — 23. Τάξις γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα.

Чинъ весьма близко подходитъ, по содержанію и изложенію, къ Ἀκολουθία γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν καὶ ἅγιον σχῆμα въ Евхологіи XIV в. Ватопедской Аѳонской библ.

---

[1]) На поляхъ противъ этого возгласа написано: τὴν ζώνην.

№ 133 (744); см. Εὐχολ., изд. проф. А. А. Дмитріевскимъ, сс. 278 – 282. Наиболѣе крупныя особенности чина указаны выше, въ изслѣдованіи.

Лл. 23 об.— 25 об. Εὐχὴ εἰς τὸ ἀποκουκουλιᾶσαι. Къ обычнымъ молитвамъ: Πολυέλεε Κύριε, ὁ δωρησάμενος τῷ δούλῳ σου, κ. τ. λ. и Τὸν τῇ πυρίνῃ κεφαλῇ. κ. τ. λ., Goar. p. 419, здѣсь присоединена третья молитва. Μετὰ δὲ τὸ αἴραι τὸ κουκούλλιον ἐκ τῆς κεφαλῆς τοῦ ἀδελφοῦ, ὁ ἱερεὺς ἐπεύχεται αὐτόν, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τῆς εἰρήνης χορηγὸς καὶ τῆς εὐλογίας δωτήρ, ὁ εὐλογήσας καὶ φωτίσας τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα ἐν τῷ φωτὶ τοῦ προσώπου σου, ὁ καταξιῶσας τὸν δοῦλόν σου τοῦτον τοῦ φοτισθῆναι τῷ νοερῷ καὶ ἀνεκδιηγήτῳ σου φωτί, φωτίσας αὐτὸν φῶς γνώσεως, καὶ εὐλογήσας. καὶ ἁγιάσας, καὶ ἀναγεννήσας ἐν τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ ἀνακαινίσας διὰ τοῦ ἁγίου σχήματος ἐν τῇ δυνάμει τοῦ ἁγίου καὶ ζωοποιοῦ σοῦ Πνεύματος. καὶ καθαρίσας αὐτὸν ἀπὸ πάσης κηλίδος ψυχικῆς τε καὶ σωματικῆς. Σύ, ἅγιε Δέσποτα Κύριε, φύλαξον αὐτὸν ἐν τῇ εὐλογίᾳ σου καὶ ἄξιον ἀνάδειξον (24) τῆς αἰωνίου σου ζωῆς καὶ ἐπουρανίου βασιλείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεθ' οὗ σοι δόξα σὺν ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Καὶ εὐθὺς κατηχεῖ αὐτὸν ὁ ἱερεύς [1]· Ἰδού, ἀδελφέ, ἠξιώθης τοῦ με-

---

[1]) Нижеслѣдующее поученіе издано проф. А. А. Дмитріевскимъ въ Εὐχολ. по Евхологію XIII в. Синайской библ. № 967 съ варіантами по рукописи XVI в. той же Синайской библ. № 985; см. Εὐχολ., сс. 231 — 232. Предлагая теперь это же самое поученіе по Схиматологію изъ Сборника, принадлежащаго проф. А. А. Дмитріевскому, мы дѣлаемъ сопоставленіе текста въ названномъ Схиматологіи съ изданными въ Εὐχολ. текстами поученія и съ текстомъ по Схиматологію XIII в. Московской Синодальной (б. патріаршей) библ. № 396, лл. 86 об. — 88 об. Набранный въ рязрядку текстъ является дополненіемъ къ тексту, изданному въ Εὐχολ. по Синайской ркп. № 967, и къ тексту въ Московскомъ Схиматологіи № 396. Другія отличія издаваемаго нами текста, въ сравненіи съ Синайскими ркпп. № 967 и 985 и съ текстомъ Московскаго Схиматологія № 396, указываются особо.

γάλου καὶ [1]) ἀγγελικοῦ σχήματος· βλέπε οὖν, πῶς συνέθου δουλεύειν τῷ Χριστῷ· πρὸ πάντων [2]) ἀγαπᾶν αὐτὸν ἐξ ὅλης [3]) καρδίας, καὶ τὰ ἀρεστὰ αὐτοῦ [4]) διαπράττεσθαι, ἀόκνως τε δουλεύειν [5]) αὐτῷ νυκτὸς [6]) καὶ ἡμέρας, ἀδιαλείπτως. ἀγαπᾶν [7]) τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου. ἀγογγύστως ἐπιτελεῖν [8]) πάντα [9]) τὰ παρ' αὐτῶν σοι ἐπιτασσόμενα, κτῆσαι διάκρισιν, τὴν ἀκρόπολιν τῶν ἀρετῶν. λέγω δὴ τοῦ [10]) διακρίνειν τοὺς ἐρχομένους σοι λογισμούς, πότερον εἰ ἐκ τοῦ Θεοῦ εἰσίν, ἢ ἐκ τοῦ ἐναντίου, καὶ τοὺς μὲν φαύλους [11]) ἀπέχεσθαι. τοὺς δὲ ἀγαθοὺς ἐπισπάσασθαι, ἐξαιρέτως ἐξαγγέλειν καὶ ἀναθέτειν τούτους· ἐφ' ᾧ πατρὶ τὰς συνθήκας σου δέδωκας καὶ τὸ παρ' αὐτοῦ προσταχθέν, κατὰ τὴν ἐνοῦσαν αὐτῷ διάγνωσιν θείαν (об.), τοῦτο καὶ ποίει. Ἔχε [12]) ὑπακοήν, τὴν κρηπῖδα τῶν ἀρετῶν. τὴν ὀξέως ἀνοίγουσάν σοι τὰς [13]) πύλας τῶν οὐρανῶν καὶ τῷ θρόνῳ τοῦ Θεοῦ παριστῶσαν. κτῆσαι ταπεινοφροσύνην. τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνάγουσαν καὶ τῷ Χριστῷ ἀφομοιοῦσαν τὸν ἄνθρωπον· τὴν δὲ νηστείαν, ὡς πρώτην νομοθεσίαν καὶ παραδείσῳ εἰσοικίζουσαν τὸν ἄνθρωπον ἀόκνως [14]), κτῆσαι, ὡς [15]) καὶ τῶν [16]) πατέρων [17]) σύντροφον, πραότητα δὲ καὶ μακροθυμίαν [18]) καὶ τὰς λοιπὰς ἀρετάς, ὡς ἐκ πάντων τῶν πατέρων ἐπαινουμένας, ἀναλαβοῦ [19]), ἵνα καὶ τὴν τῶν πραέων γῆν κληρονομήσῃς· ἐν δὲ τοῖς ἐπερχομένοις σοι πειρασμοῖς, εἴτε ὁρατῶν, εἴτε ἀοράτων [20]) ἐχθρῶν, ὑπομονὴν κτῆσαι· ὁ γὰρ ὑπομείνας, καθὼς φησὶν ὁ Κύριος, εἰς τέλος οὗτος [21]) σωθήσεται· ἡσυχίαν δέ, ἀσκητικὸν γυμνάσιον [22]) καὶ γλώσσης χαλινόν, ὡς [23]) Πνεύματος ἁγίου δοχεῖόν, σε ἀπεργαζόμενον [24]) (25), λάβε σύνοικον καὶ ὁμοδίαιτον καὶ ὁμοτράπεζον. πρὸ δὲ πᾶσι τούτοις [25]) καὶ ταῖς ὁμοίαις αὐτῶν ἀρε-

---

[1]) Такъ же Моск. 396. [2]) Син. 967: τῷ Θεῷ, πρῶτον. [3]) Моск. 396 добавляетъ: σου τῆς. [4]) Син. и Моск. αὐτῷ. [5]) Сим. и Моск. λατρεύειν. [6]) Син. добавляетъ τε. [7]) Моск. добавляетъ τε. [8]) Син. и Моск. ἐπιτελῶν. [9]) Моск. ставитъ πάντα послѣ ἐπιτασσόμενα. [10]) Син. τό. [11]) Моск. вмѣсто τοὺς μὲν φαύλους ставитъ τῶν μὲν φαύλων. [12]) Син. ἔχειν. [13]) Такъ же Моск. [14]) Такъ же Син. 985 и Моск. [15]) Такъ же Моск. [16]) Моск. добавляетъ ἁγίων. [17]) Моск. добавляетъ οὖσαν. [18]) Син. оба переставляютъ: μακροθυμίαν δὲ καὶ πραότητα. [19]) Син. ἀναλαβῶν. [20]) Моск. такъ же. [21]) Моск. ὄντως. [22]) Син. и Моск. ὡς ἀσκητικὸν γυμναστήριον. [23]) Син. и Моск. вмѣсто ὡς имѣютъ καί. [24]) Син. ἀπεργαζομένην; Моск. ἐργαζομένην. [25]) Син. πρὸς δὲ τούτοις πᾶσι.

ταῖς [1]) οἰκτίρμων ἔσω [2]). καθὼς καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν, ἀπεχόμενος [3]) τῶν φαύλων καὶ ἀπηγορευμένων πράξεων· μίσος [4]). γογγυσμόν. ἀδιακρισίαν, παρακοήν. ὑπερηφανίαν [5])· τῆς ἔχθρας [6]) τοῦ Θεοῦ γαστριμαργίας [7]), δι' ἧς ὑπεβλήθη [8]) Ησαῦ, ὀργῆς, τῆς ἀπολλειούσης καὶ τοὺς [9]) φρονίμους, ῥαθυμίας. ἀργολογίας, τῆς ἀποδιωκούσης τὸν φόβον τοῦ Θεοῦ, καὶ ἀσπλαγχνίας [10]). τῆς ἀντιτασσομένης τῷ Θεῷ καὶ Πατρί· τούτων· δὲ [11]) ἀπεχόμενος καὶ τῶν ἀγαθῶν [12]) ἐργάτης [13]) γενόμενος, ἀξιωθήσεις τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος [14]) σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Τέλος τοῦ μεγάλου σχήματος (об.).

---

[1]) Моск. добавляетъ γενοῦ. [2]) Моск. опускаетъ ἔσω. [3]) Моск. ἀφέμενος. [4]) Моск. такъ же [5]) Син. γογγυσμοῦ, ἀδιακρισίας, παρακοῆς, ὑπερηφανίας. [6]) Моск. вмѣсто τῆς ἔχθρας имѣетъ τὴν ἔχθραν. [7]) Моск. γαστριμαργίαν. [8]) Син. и Моск. ἀπεβλήθη. [9]) Моск. καὶ φρονίμους. [10]) Моск. такъ же; Син. εὐσπλαγχνίας. [11]) Вмѣсто δὲ Моск. ἀδελφέ. [12]) Моск. и Син. ἀρετῶν. [13]) Моск φύλαξ καὶ ἐργάτης. [14]) Моск. далѣе: εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IV.

Изъ Сборника чинопослѣдованій XIII в. Московской Синодальной (б. патріаршей) библ. № 343.

Лл. 15—36. Ἀκολουθία εἰς σχῆμα μοναζόντων ἤγουν τοῦ μικροῦ σχήματος.

Ἀφ' ἑσπέρας ἀποτίθουσι τὰ ἱμάτια αὐτοῦ ἐν τῷ θυσιαστηρίῳ ὑπο(л. 15)κάτωθεν τῆς ἁγίας τραπέζης, καὶ τὸ πρωΐ, εἰς τὴν λειτουργίαν, ψάλλονται τὰ τυπικά[1]. Ὁ δὲ μελλοκουρίτης ἵσταται εἰς τὰς βασιλικὰς πύλας, φορῶν καὶ τὰ συνήθη ἱμάτια αὐτοῦ. Εἶτα ψάλλονται τὰ τυπικὰ καὶ οἱ μακαρισμοί, ἦχος δ'. πρὸς τὸ Ὅτε ἐν τῷ πάθει ὁ ληστής· Ὅσοι τὰ ἐν κόσμῳ ποθεινὰ ἐγκατελίπετε (об.)... Θέλων πάντας εἰς ἐπίγνωσιν ἐλθεῖν... Πάντων τῶν προσκαίρων... Πάσας τῆς σαρκὸς τὰς ἡδονὰς ἀποστησάμενος... Τρίβον τὴν πλατείαν καὶ εὐρύχωρον... Θεοτοκίον· Χαῖρε, παρθενίας τὸ ὑπέρτιμον καλλώπισμα...

Εἶτα ἡ εἴσοδος. Μετὰ δὲ τὴν εἴσοδον· τὸ ἀπολυτίκιον καὶ τὸ Ἀγκάλας πατρικάς. Τοῦ δὲ διακόνου λέγοντος· Σοφία, ψάλλουσιν οἱ συμπαρόντες τὰ ἀντίφωνα ταῦτα, ἦχος δ'. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι (18)... στ. Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Τίς χειμαζόμενος καὶ προστρέχων...

στ. Ἐξελεξάμην παραριπτεῖσθαι. Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως...

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν...

Ἀρχομένου δὲ τούτου, μεθίσταται ἐκ τῶν βασιλικῶν πυλῶν ὀλίγον (19).

Ζάλη ἁμαρτημάτων περιέχει με, Σωτήρ... Εἰπάτωσαν οἱ λελυτρωμένοι. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου...

Θεοτοκίον· Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος...

---

1) Далѣе мы дѣлаемъ перестановку фразъ, перепутанныхъ въ рукописи, гдѣ онѣ находятся въ такомъ неудобопріемлемомъ расположеніи: ὁ δὲ μελλοκουρίτης ἵσταται εἰς τὰς βασιλικὰς πύλας· εἶτα φάλλονται τὰ τυπικὰ καὶ οἱ μακαρισμοί· φορῶν καὶ τὰ συνήθη ἱμάτια αὐτοῦ· ἦχος δ', κ. τ. λ.

Ἀρχομένου δὲ τούτου, ἔρχεται ἕως τοῦ ἄμβωνος.

Ποῦ ἐστὶν ἡ τοῦ κόσμου προσπάθεια...

στ. Δεῦτε, τέκνα, ἀκούσατέ...

Καὶ τούτου λεγομένου, ἔρχεται εἰς τὴν σολέαν. καὶ λέγεται τροπάριον Δεῦτε πρός με πάντες οἱ κοπιῶντες...

στ. Ἐπλανήθην, ὡς πρόβατον... Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης...

στ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν...

Καὶ τούτου λεγομένου, ἔρχεται καὶ προσπίπτει εἰς τὸ ἅγιον θυσιαστήριον καὶ οὐκ ἀνίσταται, ἕως τῆς συμπληρώσεως τοῦ τροπαρίου. Λέγεται δὲ τὸ τροπάριον, ἦχος δ', Κύριε, Κύριε. ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε (22)... Δόξα καὶ νῦν

Εἶτα ἀνίσταται, καὶ ἐπερωτᾷ αὐτὸν ὁ ἱερεὺς ταῦτα· Τί προσῆλθες, τέκνον, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ; Ἐπιποθεῖς ἀξιωθῆναι τοῦ ἀγγελικοῦ σχήματος καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν μοναζόντων (22 об.); Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ὄντως καλὸν ἔργον καὶ μακάριον ἐξελέξω, κ. τ. λ., Goar. p. 383.

Послѣ вопросовъ и отвѣтовъ. іерей говоритъ: Βλέπε, τέκνον, οἵας (24) συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ· ἄγγελοι γὰρ πάρεισιν, ἀπογραφόμενοι τὴν ὁμολογίαν σου ταύτην, ἣν καὶ μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἶτα κλίνει μικρὸν τὴν κεφαλήν, καὶ τοῦ διακόνου εἰπόντος (об.) Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ὁ ἱερεὺς εἰς τὴν κεφαλὴν αὐτοῦ τὸ σχηματολόγιον καὶ λέγει τὴν εὐχὴν ταύτην· Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... Goar. p. 385. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν προστρεχόντων εἰς σέ... Goar. p. 385. Εἶτα ἐπιφωνεῖ ὁ ἱερεύς· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. Βλέπε οὖν, ὅτι οὐδείς σε ἀναγκάζει ἐλθεῖν ἐπὶ τοῦτο τὸ σχῆμα· βλέπε, ὅτι σὺ ἐκ προθέσεως θέλεις τὸ ἀγγελικὸν σχῆμα τοῦτο. Εἶτα λέγει· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ ἐπιδόντος αὐτοῦ (2ᵍ) τὸ ψαλλίδιον τῷ ἡγουμένῳ, λέγει πρὸς αὐτὸν πάλιν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό. Βλέπε, τίνι προσέρχῃ, τίνι συντάσσῃ, καὶ τίνι ἀποτάσσῃ. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ψαλλίδιον ἐκ τῶν χειρῶν τοῦ ἡγουμένου, λέγει οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ θέ(об.)λων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.

Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, εἰς τὸ ὄνομα (30) τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. εἴπωμεν ὑπὲρ αὐτοῦ. Ὁ λαός· Κύριε ἐλέησον. γ'.

Καὶ εὐθέως παραλαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικὸν ἢ εἰς τὸν νάρθηκα καὶ κουρεύουσιν αὐτόν, ψάλλοντες τὸν Ἄμωμον. Ὁ λαὸς δὲ ψάλλει τὸ Τρισάγιον. Εἶτα ὁ ἀπόστολος καὶ τὸ (οб.) εὐαγγέλιον. Τοῦ δὲ εὐαγγελίου λεγομένου, φέρουσιν οἱ μοναχοὶ τὸν ἀποκαρθέντα ἀδελφὸν μέσον τῆς βασιλικῆς πύλης, καὶ ἱσταμένου αὐτοῦ, ἐπιδιδοῦσι κηρόν. φορῶν[1]) τὰ συνήθη ἱμάτια, ἀπόζωστος δέ, ἀνυπόδετος καὶ ἀσκέπαστος (31).

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, εἰσάγουσιν αὐτὸν ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου Εἶτα ἐπιλαβόμενος ὁ ἱερεὺς τὸ ἱμάτιον αὐτοῦ, ἐκφωνεῖ·

Τὸν χιτῶνα. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως (οб.) τοῦ ἀγγελικοῦ σχήματος. εἰς τὸ ὄνομα τοῦ Πατρός, κ. τ. λ. Ὁ λαός· Κύριε ἐλέησον, γ'·

Ζωννύει. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, ἐν ὀνόματι τοῦ Πατρος, κ. τ. λ. (32).

Παλλίον. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, εἴπωμεν ὑπὲρ αὐτοῦ. Ὁ λαός· Κύριε ἐλέησον.

Σανδάλια. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια (οб.) τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν ὀνόματι τοῦ Πατρός, κ. τ. λ.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μοναδικὸν σχῆμα, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Καὶ μετὰ ταῦτα λέγει ὁ ἱερεὺς εὐχήν· (33) Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας, ὡς καὶ μητέρα τῆς οἰκονομίας τῆς σῆς ἐπιγράψασθαι αὐτήν... Goar. p. 382. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς (35 οб.) Ὁ ἱερεὺς ἐπεύχεται. Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου τόνδε εἰς τὴν πνευματικήν σου αὐλήν... Goar. p. 386.

Ἀσπάζεται δὲ ὁ νεοφώτιστος τὸ ἅγιον εὐαγγέλιον. Εἶτα ὁ καθηγούμενος τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν νεοφώτιστον. Ὁμοίως δὲ καὶ οἱ λοιποὶ ἀδελφοί.

Ἀπόστολον καὶ εὐαγγέλιον ζήτει τοῦ ἁγίου μεγάλου σχήματος (36)[2]).

---

[1]) Въ рукописи поставлено φαρωῦντα.

[2]) Въ послѣдованіи великой схимы по издаваемому памятнику положены: апостолъ πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ... конецъ: ἄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ, лл. 90 об.—92; евангеліе κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὁ φιλῶν πατέρα... конецъ: καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν, лл. 92—93 об. Ср. Евхологій Румянцевск. муз. № 474, лл. 161 об.—163: „Прилож.“ сс. 18—19.

V.

Изъ Схиматологія XIII в. Московской Синодальной (б. патріаршей) библ. № 396.

Лл. 27 об.—88 об. Τάξις γινομένη καὶ ἀκολουθία εἰς τὸ μέγα καὶ ἀγγελικὸν ἅγιον σχῆμα.

Ἀφ' ἑσπέρας εἰσφέρεται τὰ ἱμάτια καὶ τὰ λοιπὰ τοῦ μέλλοντος λαμβάνειν τὸ ἅγιον σχῆμα εἰς τὸ ἅγιον θυσιαστήριον καὶ ἀποτίθωνται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης. Καὶ εἰς μὲν τὸ λυχνικὸν φάλλονται τὰ στιχηρὰ τοῦ ἁγίου σχήματος παρ' ἁπάντων τῶν ἀδελφῶν. Εἰς δὲ τὸν ὄρθρον ὁ κανών, ἢ εἰς τὴν παραμονήν (27 об.).

Στιχηρά, ἦχος β', πρὸς Ὅτε ἐκ τοῦ ξύλου

Πίστει προσερχόμενον πρὸς σέ, κ. τ. λ., лл. 28—29, см. Сборникъ проф. А. А. Дмитріевскаго. лл. 4 об. — 5 [1]).

Ὁ κανών, φέρων ἀκροστιχίδα τήνδε· Εὐδόκιμον τέλος Εὐδοκίμῳ μοι, Χριστέ. παράσχου. Ὠδὴ α', ἦχος β', Δεῦτε λαοί, лл. 29 — 34 об., Goar. pp. 403 — 405.

Ἐν τῷ πρωῒ εἰς τὴν λειτουργίαν μετὰ τὰ ἀντίφωνα λέγονται οἱ μακαρισμοί. Ἵσταται δὲ ὁ τὸ σχῆμα μέλλων λαβεῖν, ἀρχομένης τῆς λειτουργίας, ἔνδον πύλης βασιλικῆς πλησίον τοῦ ἡγουμένου, φορῶν τὰ προσυνήθεια αὐτοῦ (ἱμάτια). Μετὰ δὲ (τὴν) εἴσοδον, φάλλονται οἱ μακαρισμοί· Ὅτε ἐν τῷ πάθει ὁ ληστής, κ. τ. λ., лл. 34 об.—36 см. Евхологій Румянцевск. муз. № 474, лл. 231 об. — 233, и Сборникъ проф. А. А. Дмитріевскаго, лл. 8—9 [2]).

Μετὰ δὲ τὴν εἴσοδον, τοῦ διακόνου λέγοντος· Σοφία, φάλλοντες οἱ συμπαρόντες τὸ εἰσοδικὸν καὶ τὸ τροπάριον τῆς ἡμέρας, εἶθ' οὕτως λέγουσι τὸ παρὸν τροπάριον, ἦχος α'. Δόξα· Ἀγκάλας πατρικάς (36)... Καὶ νῦν, ὁ αὐτός· Μητέρα σε Θεοῦ...

---

[1]) „Прилож." сс. 33—34.

[2]) „Прилож". с. 21 и сс. 33—34.

Ὁ μελλοκουρίτης δὲ ἀποβάλλει τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα καὶ τοῖς ποσὶ καλίγια καὶ ἵσταται λοιπὸν ἐπὶ τῆς πύλης ἀπόσκεπος καὶ ἀνυπόδετος, ἐζωσμένος δὲ μέχρι ἂν εἰσέλθῃ ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Καὶ ἐξῆς ἄρχονται τὰ ἀντίφωνα. Ἀντίφωνον α΄. ἦχος δ΄

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι...

Ὡς ἀγαπητὰ τὰ σκηνώματα...

Τίς χειμαζόμενος καὶ προστρέχων (36 οβ.)...

Ἐξελεξάμην παραριπτεῖσθαι..

Ἐν τῇ πηγῇ τῇ μυστικῇ (37)...

Δόξα καὶ νῦν, θεοτοκίον· Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν [1])...

Ἀρχομένου δὲ τοῦ β΄ ἀντιφώνου, μεθίσταται μικρὸν ὁ τὸ σχῆμα μέλλων λαβεῖν τῶν βασιλικῶν πυλῶν μετὰ τοῦ ἀναδόχου αὐτοῦ. Ἀντίφωνον β΄, ἦχος δ΄.

Ζάλη ἁμαρτημάτων...

Ἐλέησόν με, ὁ Θεός..

Πλῦνόν με τοῖς δάκρυσί μου (37 οβ.)...

Ῥαντιεῖς με ὑσσώπῳ ..

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου...

Εἰπάτωσαν οἱ λελυτρωμένοι...

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιον σου...

Δόξα καὶ νῦν, θεοτοκίον· Ἐξ ἀχράντων λαγόνων σου (38)...

Ἀρχομένου δὲ τοῦ γ΄ ἀντιφώνου, ἔρχεται ἕως τοῦ ἄμβωνος καὶ πάλιν ἵσταται, καὶ ψάλλουσιν οἱ μοναχοὶ ἀντίφωνα γ΄, ἦχος δ΄.

Ποῦ ἐστὶν (ἡ) τοῦ κόσμου προσπάθεια (38 οβ.)...

Δεῦτε, τέκνα, ἀκούσατέ μου..

Καὶ τούτου λεγομένου τοῦ στίχου, ἔρχεται εἰς τὴν σωλαίαν κἀκεῖ ἵσταται. Καὶ ψάλλεται τροπάριον, ἦχος δ΄·

Δεῦτε πρός με πάντες οἱ κοπιῶντες...

Ἐπλανήθην, ὡς πρόβατον...

Πρόβατόν εἰμι (39)...

Δεῦτε προσκυνήσωμεν...

Καὶ τούτου λεγομένου τοῦ στίχου, ἔρχεται διὰ τῆς σωλαίας ἕως τῶν ἁγίων θυρῶν, καὶ προσπίπτε, καὶ οὐκ ἀνίσταται ὁ μελλοκουρίτης, μέχρι συμπληρώσεως τοῦ ἀντιφώνου. Ψάλλουσι δὲ οἱ μοναχοὶ τροπάριον·

Κύριε. Κύριε. ἐπίβλεψον...

Ὁ διὰ σοῦ θεοπάτωρ προφήτης Δαβὶδ (39 οβ.).

Καὶ εἶθ' οὕτως ἀνιστάμενος ἀπὸ τῆς γονυκλισίας, ἐπερωτᾷ αὐτὸν ὁ ἱερεύς, ἐὰν ἔνι ὁ καθηγούμενος ἱερεύς, λέγων· Τί προσῆλθες, κ. τ. λ., лл. 40—41.

---

[1]) Евхологій Румянц. муз. № 474, лл. 233 об.—234; „Прилож“. с. 21. Сборникъ проф. А. А. Дмитріевскаго, л. 9; „Прилож.“ сс. 33—34.

Вопросы — тѣже, что Goara, p. 407, но вопросъ: Φυλάττεις σεαυτὸν ἐν παρθενίᾳ, κ. τ. λ. поставленъ не въ концѣ, а послѣ вопроса о готовности безотлучно пребывать въ монастырѣ: Παραμένεις τῷ μοναστηρίῳ. κ. τ. λ. Отвѣты постригающагося: Θεοῦ συνεργοῦντος и Θεοῦ εὐδοκοῦντος, чередуются.

Κατήχησις, ἣν ποιεῖ ὁ ἡγούμενος ἢ ὁ ἱερεὺς πρὸς τὸν μέλλοντα λαμβάνειν τὸ ἅγιον σχῆμα.

Βλέπε, τέκνον. οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ, κ. τ. λ., лл. 41—47 об.; Goar., pp. 407—409.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς ἐπεύχεται· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κ. τ. λ., лл. 47—48 об.; см. Евхологій Румянц. муз. № 474, лл. 142 и об., но въ концѣ молитвы есть добавленіе послѣ словъ: ἵνα καὶ αὐτὸν ἁγιάσῃ: Καὶ δὸς αὐτόν, Δέσποτα ἅγιε. ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ἰσχύος ἀποστῆναι παντὸς κοσμικοῦ καὶ γηίνου (48) φρονήματος, ὅπως κατὰ τὸ εὐαγγέλιόν σου πολιτευσάμενος, τύχῃ τῆς αἰωνίου ζωῆς, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς εὐαρεστήσασί σοι. Ἐκφώνως· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ σοὶ τὴν δόξαν, κ. τ. λ. [1]).

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Ὁ ἱερεὺς ἐπεύχεται (48 об.) Εὐχή· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας, κ. τ. λ., л. 49 и об.; см. Евхологій Румянц. муз. № 474, лл. 143 об.—144 [2]).

Εἶτα πάλιν ὁ ἡγούμενος κατηχεῖ αὐτόν, λέγων· Β΄ κατήχησις· [3]) Ἰδού, τέκνον

---

[1]) Такъ оканчивается въ Барберинovскомъ Евхологіи Св. Марка Εὐχὴ β΄ εἰς γυναῖκας Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν: см. „Прилож.“ с. 2.

[2]) „Прилож.“, сс. 13—14. Молитва: Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, какъ и предыдущая: Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, въ Схиматологіи № 396 положены при постриженіи одного лица, а не нѣсколькихъ (какъ по Евхологію № 474); поэтому, въ текстѣ молитвъ Схиматологія, гдѣ идетъ рѣчь о постригающемся, выдерживается повсюду единственное число.

[3]) Противъ начальныхъ словъ этого оглашенія на поляхъ рукописи сдѣлана замѣтка: Ἄφες.

καὶ ἀδελφέ, προέθου προσελθεῖν καὶ δουλεύειν τῷ Κυρίῳ. Εἰ οὖν βούλει γενέσθαι τελειος μοναχός, πρῶτον πάντων καθάρισον ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ (49 об.) Θεοῦ καὶ ταπεινοφροσύνην. Καὶ γὰρ ὁ τῆς ἀσκήσεως καὶ μοναδικῆς πολιτείας βίος ἀγγελικὸς ὑπάρχει καὶ θαυμαστὸς καὶ ὑπερκόσμιος· ὅθεν καὶ ἀγῶνας πολλοὺς ἔχει, ὁμοίως δὲ καὶ θλίψεις καὶ πειρασμούς. Διὰ τοῦτο γὰρ καὶ ἡ σοφία τοῦ Θεοῦ λέγει· Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. Καὶ πάλιν λέγει· Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου (50) ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. Καὶ ὁ ἅγιος Ἰάκωβος ὁ ἀπόστολος λέγει· Μακάριος ἄνθρωπος, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς αἰωνίου ζωῆς. ὃν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ὡσαύτως καὶ ἀθλητὴς οὐ στεφανοῦται, κατὰ τὸν μακάριον Παῦλον, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸ δὲ ἆθλον ἐστίν, ἵνα τις διὰ τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν νικήσας τὸν διάβαλον (об.), τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσῃ. Καὶ γὰρ ὁ μέγας ἀθλητὴς ὁ τῆς εὐσεβείας Ἰὼβ οὕτως ἐπειράσθη ὑπὸ τοῦ διαβόλου, ὡς μὴ μόνον κατὰ τοῦ σώματος αὐτοῦ λαβεῖν χώραν[1]). ἀλλὰ καὶ τὰ τέκνα καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ διὰ τῆς ὑπομονῆς αὐτοῦ ἐνίκησε τὸν ἐχθρόν. Ὀλίγος οὖν, τέκνον, ὁ κάματος καὶ εἰς αἰῶνα ὁ ἔπαινος καὶ τὸ καύχημα, καθὼς ὁ ἀπόστολος ἔφη, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς τοὺς (51) ἀγωνιζομένους. Διὰ τοῦτο παραινεῖ ὁ αὐτός, λέγων· Παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος καὶ σπουδῆς, δουλεύοντες ἀλλήλοις, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις. Νῦν οὖν, τέκνον καὶ ἀδελφέ, μὴ λογίσῃ, ὅτι ἄνθρωπος ὑμῖν διαλέγεται, νουθετῶν

---

[1]) Со словъ: βίος ἀγγελικὸς ὑπάρχει καὶ θαυμαστὸς καὶ ὑπερκόσμιος, к. т. λ, и кончая: λαβεῖν χώραν, оглашеніе сходно (за самыми незначительными варіантами въ текстѣ) съ напечатаннымъ у проф. А. А. Дмитріевскаго оглашеніемъ въ Ἀκολουθία τοῦ ἀποστολικοῦ по Евхологію XIII в. Синайской библ. № 967; см. Εὐχολ., сс 223 224.

καὶ παρακαλῶν. μηδὲ τοὺς ἐν τῇ ὥρᾳ ταύτῃ περιεστῶτας ὁμοίους ἡμῖν ὑπολαμβάνετε· αὐτὸς γὰρ ὁ βασιλεὺς τῆς δόξης (51 об.) Χριστὸς καὶ Θεὸς ἡμῶν διὰ τῶν ἁγίων αὐτοῦ Γραφῶν σοι διαλέγεται, ᾧτινι καὶ συντάσσῃς, παρσταμένων αὐτῷ ἀγγέλων. ἀρχαγγέλων, ἀποστόλων. προφητῶν καὶ μαρτύρων, καὶ ἐπὶ τούτων πάντων ἀποτάσσῃς τὰ πρόσκαιρα καὶ μάταια τοῦ κόσμου, καταλιμπάνων πᾶσαν κοσμικὴν ἐπιθυμίαν καὶ κολλώμενος αὐτῷ τῷ Χριστῷ, καὶ ἀξιούμενος τοῦ νυμφῶνος αὐτοῦ· λέγει γάρ, ὅτι ὅστις καταλείψῃ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀδελφοὺς ἢ ἀδελφάς, οἰκίας καὶ ἀγροὺς (52) ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι ζωὴν ἀιώνιον κληρονομήσει· χαίρει γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις. Βλέπε οὖν. ἀδελφέ· οὐ γὰρ ὡς ἐξ ἀνάγκης προσέρχῃ τῷ Θεῷ. ἀλλ' αὐτοπροαιρέτως. Νῦν οὖν αὐτὸς παρακαλεῖς λαβεῖν τοῦτο τὸ σχῆμα τὸ ἀγγελικόν. Καὶ ἡ μὲν πρόθεσις καὶ ἡ πρὸς Θεὸν ἀγάπη σου καλὴ καὶ ἀξία[1]), μόνον ἐὰν μὴ ὑπὸ τοῦ ἀν(52 об.)τιδίκου τῆς σωτηρίας ἡμῶν ἐχθροῦ ταύτην χαυνώσῃς σβεσθῆναι. Καλὸς ὁ δρόμος σου. ἀλλὰ μὴ ἐνδώσῃς τρέχων, ἄχρις οὗ στεφανωθῇς· Καλῶς τὰ μέλοντα προετιμήσω τῶν ἀπολλυμένων· καλὴ ἡ προθυμία σου, ἀλλὰ μὴ νυστάξῃς καὶ ψυχρανθῇ τὸ περικαῖόν σου τῆς καρδίας σήμερον πῦρ· καλοὶ μὲν οἱ κατὰ σάρκα γονεῖς, κάλλιον δὲ ἀνεικάστως τῷ ἐπουρανίῳ Πατρὶ· εὐαρεστῆσαι, καὶ οἱ πνευματικοὶ ἀδελφοὶ συμφερώτεροι· καλὴ καὶ ἐπαινετὴ ἡ τῶν χρημάτων (53) μετάδοσις τῷ εὐπορουῦντι, ἀλλ' οὐδὲν ζητεῖ ὁ Θεὸς παρ' ἡμῶν, ὡς τὸ προσενέγκαι αὐτῷ τὰς ἑαυτῶν ψυχὰς καθαρὰς καὶ ἀμώμους· γλυκεῖα μὲν ἡ τοῦ κόσμου ἀπόλαυσις, ἀλλ' οὐκ ἔστιν ἴση τῆς τρυφῆς τοῦ παραδείσου, καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· τερπνὸν δὲ καὶ τὸ κάλλος τῆς νεότητος, ἀλλ' οὐδὲν ὡς τὸ τοῦ ἐπουρανίου νυμφίου Χριστοῦ. Εἶδες, ὅση ἡ δωρεά. ὅ(59 об.)τι σήμερον, ἀδελφέ, εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἐπολιτογραφήθης καὶ ἀξίαν τοῦ μεγέθους τῶν δωρεῶν τὴν φυλακὴν ἐπιδείξασθαι ὀφείλεις, ἵνα καὶ δαψιλεστέραν τὴν χάριν ἐπιλάβῃς. Ἀγὼν γὰρ ἐστὶ καὶ πάλη ἅπας ὁ

---

[1]) Въ рукописи ошибочно стоитъ ὀξεῖα.

παρὼν βίος. καὶ τὸν ἐπὶ τῷ σταδίῳ τούτῳ τῆς ἀρετῆς ἅπαξ εἰσελθόντα προσήκει πάντα ἐγκρατεύεσθαι· πᾶς γὰρ ὁ ἀγωνιζόμενος, φησίν, πάντα ἐγκρατεύεται. Οὐχ ὁρᾶς ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ὅπως πολλὴν ἑαυτῶν ποιοῦνται τὴν ἐπιμέλειαν (54), ὅταν πρὸς ἀνθρώπους τὴν πάλην ἀναδέχονται τὴν τοῦ σώματος ἄσκησιν ἐπιδεικνύμενοι. Οὕτω δὴ καὶ ἐνταῦθα. Ἐπειδὴ οὐ πρὸς ἀνθρώπους ἡμῖν ἐστιν ἡ πάλη, ἀλλὰ πρὸς τὰ πνεύματα τῆς πονηρίας, καὶ ἡ ἄσκησις ἡμῶν καὶ ἡ ἐγκράτεια πνευματικὴ ἔστω, ἐπειδὴ καὶ τὰ ὅπλα ἡμῶν, ἅπερ ἐνέδυσεν ὁ Δεσπότης ἡμᾶς, πνευματικὰ τυγχάνει. Ἐχέτω τοίνυν καὶ ὁ ὀφθαλμὸς ὅρους καὶ κανόνας, ὥστε μὴ ἁπλῶς ἐπιπηδᾶν ἅπασι τοῖς προσπίπτουσι. Καὶ ἡ γλῶσσα τειχίον ἐχέτω, ὥστε μὴ ἐκτρέχειν τῆς (54 οβ.) διανοίας· διὰ γὰρ τοῦτο καὶ τοὺς ὀδόντας καὶ τὰ χείλη πρὸς τὴν τῆς γλώττης ἀσφάλειαν δεδημιούργηκεν ὁ Θεός, ἵνα μηδέποτε ἁπλῶς ἀναπετάσασα τὰς θύρας ἡ γλῶσσα ἐξίῃ, ἀλλ' ἐπειδὰν καλῶς τὰ καθ' ἑαυτὴν ἡ διάνοια διατεθῇ, τότε μετὰ πάσης εὐκοσμίας πρόεισι, καὶ ταῦτα προφέρει ῥήματα. ἵνα δῷ χάριν τοῖς ἀκούουσιν, κἀκεῖνα φθέγγεται, ἃ πρὸς οἰκοδομὴν συντείνει τῶν ἀκουόντων. Καὶ τὸν ἄτακτον γέλωτα πάντη ἐκκλίνειν δεῖ. καὶ τὸ βάδισμα ἤρεμον ἔχειν καὶ ἡσύχιον (55), καὶ στολὴν πενιχρὰν καὶ κατεσταλμένην, καὶ διὰ πάντων ἁπαξαπλῶς ῥυθμίζεσθαι προσήκει τὸν ἀπογραψάμενον ἐν τῷ τῆς ἀρετῆς σταδίῳ.

Γίνωσκε τοίνυν, ἀγαπητέ, ὅτι ἀπὸ τὴν σήμερον ἡμέραν τεθνηκέναι καὶ ἐσταυρῶσθαι τῷ κόσμῳ, καὶ τὸν κόσμον σοὶ κατὰ τὸν ἀπόστολον. Κατάμαθε δὲ καὶ τίς ἡ δύναμις τῆς σταυρώσεως· ἐπειδὴ λοιπὸν οὐκ ἔτι σὺ ζῇς, ἀλλ' ἐκεῖνος ἐν σοὶ ζῇ, ὁ ὑπὲρ σοῦ σταυρωθείς· τούτῳ γὰρ τῷ τύπῳ καὶ τῷ σχήματι ὁ Δεσπότης ὑπὲρ ἡμῶν ἐκρεμάσθη. καὶ ἡμᾶς (55 οβ) ὁμοίως ἐπάναγκές ἐστιν ἐν τῷ μοναστηρίῳ διάγειν μεθ' ὑπομονῆς καὶ ταπεινώσεως, καθὼς καὶ ὁ μακάριος Δαβὶδ ἐπεύχεται, λέγων· ἐκ τοῦ φόβου τοῦ Θεοῦ καθηλωθῆναι τὰς σάρκας αὐτοῦ. Ὡς γὰρ τὸ σῶμα καθηλωμένον ἔχων τις εἰς τὸ ξύλον ἀκίνητός ἐστι πρὸς πᾶσαν ἐργασίαν, ἣν ἂν ἐθέλοι, οὕτως ὁ τῷ θείῳ φόβῳ καθηλωμένον ἔχων τὸν λογισμόν, ἀκίνητος ὑπάρχει πρὸς πᾶν θέλημα σαρκικόν. Καὶ ὥσπερ ὁ σταυρῷ προσηλωμένος οὐκ ἔτι τὰ παρόντα λογίζεται, οὐδὲ (55) τοῖς ἰδίοις θελήμασι συνδιατίθεται, οὐκ ἐπιθυμίᾳ ταράσσεται, οὐ φροντίδι τοῦ κτᾶσθαι ὕλας κατατείνεται, οὐχ ὑπερηφανίᾳ φυσιοῦναι, οὐ

φθόνῳ ἐξάπτεται. οὐ περὶ τῶν παρουσῶν ἀτιμιῶν ἀλγεῖ, οὐ τὰς παρελθούσας ὕβρεις ἀναμιμνήσκεται· μικρὸν γὰρ ὕστερον τὴν ἐκ τοῦ βίου ἔξοδον προσδέχεται διὰ τοῦ σταυροῦ· οὕτως ὁ ἀποταξάμενος γνησίως τῷ κόσμῳ καὶ τῷ θείῳ φόβῳ, ὡς εἴρηται. προσηλωμένος καὶ τὴν ἐκ τοῦ βίου τούτου ἔξοδον καθ' ἑκάστην προσδεχόμενος, ἀκινήτους (55 об.) καὶ ἀνενεργήτους ἔχει πάσας τὰς ἐπιθυμίας καὶ τὰς σαρκικὰς διαθέσει.

Φύλαττε, τοιγαροῦν, μὴ τί ποτε τούτων ἀναλαβεῖν ἐπιθυμήσῃς. ὧν ἀποτασσόμενος ἀποβάλλεις, ἵνα μή πως ἀνεύθυνος, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν εὑρεθῇς, ὁ γὰρ πρὸς τὰ ταπεινά τε καὶ γήινα τοῦ κόσμου τούτου πράγματα ἀπὸ τῆς ὑψηλῆς πολιτείας καταβαίνων, πάλιν παρ' ἐντολὴν τοῦ Χριστοῦ πράττει. Φυλάττου τοίνυν, μή τινος τῶν κατὰ σάρκα γονέων ἢ συγγενῶν ἀρχαίας (56) διαθέσεως ἀναμνησθεὶς καὶ πρὸς τὰς φροντίδας τοῦ αἰῶνος τούτου καὶ προσπαθείας ἐπαναστραφῇς. Πρόσεχε οὖν ἀκριβῶς καὶ φύλαξον. μήποτε τὴν κενοδοξίαν καὶ ὑπερηφανίαν. ἣν νῦν ἀρχόμενος τῇ θέρμῃ τῆς ταπεινώσεως καταπατήσῃς, ἀνεγείρῃς καθ' αὐτοῦ· ἀλλὰ μᾶλλον, ὡς ἐνήρξω καὶ ὡμολόγησας τὴν ταπείνωσιν ἔχειν ἐνώπιον Θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων, ἕως τέλους διατήρησον. Καὶ εἰ θέλεις, ἐνδίδωμί σοι καὶ ἄλλον ὀλίγον χρόνον, καὶ ἐξέτασον καὶ δοκίμασον ἑαυτὸν ἀκριβῶς, εἰ δύνασαι ὑπερενεγκεῖν τὸν ζυγὸν (56 об.) τῆς ἀσκήσεως. Πρώτη γὰρ καὶ ἀνωτέρα πάντων τῶν ἀρετῶν ἐστιν ἡ ἀγάπη καὶ ἡ περιεκτικὴ ἐγκράτεια καὶ ἀκτημοσύνη. Αὗται γὰρ μόναι τοῖς ἀγγέλοις ἐξομοιοῦνται. Αὐτὸς γὰρ ἔφη ὁ Κύριος· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ. ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Ὅτι αὐτῷ πρέπει δόξα καὶ κράτος. τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ, κ. τ. λ.

Καὶ ὅταν συντάξηται, στραφεὶς ἐνώπιον πάντων τῶν ἀδελφῶν, κύκλῳ ἱσταμένων, ἐπεύχεται ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην (57) Εὐχή· Ὁ πανοικτίρμων οὖν Θεὸς κ. τ. λ. Въ молитвѣ: τῶν ἁγίων καὶ ὁσίων πατέρων ἡμῶν· Ἀντωνίου, Παχωμίου, Μακαρίου, Εὐθυμίου, Σάββα καὶ τῶν σὺν αὐτοῖς (58).., а на л. 58 об. замѣчено: Ἐπὶ δὲ τῶν μοναστριῶν λέγονται τὰ ὀνόματα τῶν ὁσίων καὶ Χριστοῦ ἀσκητριῶν· Φεβρονίας, Εὐφροσύνης, Εὐπραξίας, Ὀλυμπιάδος, Ματρώνης, Θεοκτίστης, Ξένης καὶ τῶν σὺν αὐταῖς [1]).

---

[1]) Противъ этихъ словъ на поляхъ рукописи: Ἄφες.

Εἶθ᾽ οὕτως ὁ ἱερεὺς ἢ ὁ καθηγούμενος ἐπερωτᾷ πρὸς τὸν ἀνάδοχον τοῦ μέλλοντος ἀποκαρῆναι [1]). Ἐρώτησις [2])· Δύνασαι ἀναδέξασθαι τὸν ἀρραβωνισθέντα σοι δοῦλον τοῦ Χριστοῦ; Ἀπόκρισις Δύναμαι. χάριτι Χριστοῦ [3]). Ἐρώτησις· Δύνασαι δεῖξαι σπλάγχνα πατρικὰ [4]) εἰς αὐτόν; Ἀπόκρισις· Ναί. δι᾽ εὐχῶν σου, τίμιε πάτερ [5]) (58 л. об.).

Κατήχησις πρὸς τὸν ἀνάδοχον. Καὶ κατηχεῖ αὐτὸν ὁ ἱερεὺς ἢ ὁ ἡγούμενος [6])· Πρόσελθε [7]) οὖν [8]) καὶ ἄκουσον τοῦ Κυρίου προφήτου [9]) λέγοντος· μακάριος, ὃς ἔχει σπέρματα ἐν Σιὼν καὶ οἰκείους [10]) ἐν Ἱερουσαλήμ. περὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας λέγων. Μακάριος οὖν [11]) καὶ σύ, ὅτι πνευματικοῦ τέκνου πατὴρ γενέσθαι [12]) κατηξιώθης. Βλέπε οὖν [13]). ὅτι ἐκ ναοῦ Κυρίου αὐτὸν παραλαμβάνεις ἐπὶ ὁρατῶν καὶ ἀοράτων μαρτύρων. Δεῖξον οὖν [14]) εἰς αὐτὸν πατρῷα σπάγχνα, ἐν μηδενὶ αὐτὸν παρίδῃς. ἀλλὰ δόγμασιν εὐσεβείας πρὸς πᾶσαν ἐντολὴν (59) τοῦ [15]) Κυρίου αὐτὸν [16]) καθοδήγει. ὅπως ἀξιωθῇς σὺν αὐτῷ τῶν οὐρανίων τυχεῖν ἀγαθῶν [17]) ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ Πατρὶ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν κ. τ. λ. (59—59 об.).

---

[1]) Вопросы и поученіе анадоху являются большою рѣдкостью въ текстѣ чиновъ постриженія. Параллельный издаваемому текстъ намъ удалось найти въ Сборникѣ статей аскетическаго характера № 82, хранящемся нынѣ въ библіотекѣ Императорской Кіевской духовной Академіи и описанномъ у проф. Н. И. Петрова въ изданіи: „Описаніе рукописей Церковно-Археологическаго Музея при Кіевской духовной Академіи. Выпускъ III. Кіевъ. 1879 г.“, сс. 556—561. Отъ внимательнаго взора ученаго описателя ускользнулъ, однако, нѣсколько поблекшій отъ времени, писанный почеркомъ XVI столѣтія, листъ 275, представляющій собою фрагментъ интереснаго (вѣроятно) чина постриженія въ монашество съ вопросами и поученіемъ іерея анадоху. Текстъ начинается такъ: Καὶ στραφεὶς πρὸς τὸν ἀνάδοχον, λέγει ὁ ἱερεύς· Δύνασαι ἀδελφέ, ἀναδέξασθαι τὸν ἀρραβωνισθέντα δοῦλον τοῦ Χριστοῦ, κ τ λ. Не приводя здѣсь текста полностію, мы ограничимся его варіантами. [2]) Слово Ἐρώτησις здѣсь и далѣе, равно какъ и слово Ἀπόκρισις, въ текстѣ по ркп. № 82 библ. Импер. Кіевск. д. Академіи отсутствуютъ. [3]) Къ этимъ словамъ ркп. № 82 добавляетъ: καὶ δι᾽ εὐχῶν σου ἁγίων. [4]) ἐπιδεῖξασθαι τὰ πατρῷα σπλάγχνα [5]). Ναί, πάτερ, δι᾽ εὐχῶν σου ἁγίων. [6]) Вмѣсто Κατήχησις πρὸς τὸν ἀνάδοχον. Καὶ κατηχεῖ αὐτὸν ὁ ἱερεὺς ἢ ὁ ἡγούμενος, читается: Καὶ λέγει τὴν εὐχὴν ταύτην εἰς τὸν ἀνάδοχον. [7]) Добавл. ἀδελφέ. [8]) Οὖν отсутствуетъ. [9]) διὰ προφήτου. [10]) οἰκεῖον. [11]) Добавл. εἶ. [12]) Вмѣсто γενέσθαι — εἶναι. [13]) Добавл. αὐτό. [14]) οὖν отсутствуетъ. [15]) τοῦ отсутствуетъ. [16]) Вмѣсто αὐτὸν — τοῦτον. [17]) Далѣе, до конца, такъ: προσβευούσης τῆς παναγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καὶ σφραγίξει ὁ ἱερεὺς τὸν ἀποταξάμενον ἐπὶ τὴν κεφαλὴν τρίτον, λέγων τὴν εὐχὴν ταύτην. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Κύριε. Κύριε, οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλόν. ἀλλὰ σὴν χεῖρα κραταιὰν καὶ βραχίονα ὑψηλὸν ἐπὶ τὸν δοῦλόν σου τοῦτον, κ. τ. λ., лл. 59 об.—60 об. Текстъ молитвы близко подходитъ къ тексту Румянцевскаго Евхологія № 474. лл. 155 об.—156 [1]).

Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει ἐπὶ τὴν κεφαλὴν τοῦ λαμβάνοντος τὸ ἅγιον σχῆμα τρίτον. Μετὰ δὲ τὸ κατασφραγῖσαι αὐτόν, προσπίπτει ἕως τῆς συμπληρώσεως τῆς εὐχῆς τῆς κεφαλοκλισίας. Τοῦ δὲ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἱερεύς, στραφεὶς κατὰ ἀνατολάς, εἰς ἐπήκοον πάντων ἐπεύχεται. Εὐχή· Ὁ ὢν Δέσποτα παντοκράτωρ... Goar. pp. 409—410 [2]). Ὁ λαὸς τὸ Ἀμήν Καὶ εὐθὺς τίθεται τὸ ψαλλίδιον ἐπάνω τοῦ ἁγίου εὐαγγελίου.

Εἶτα ὁ ἱερεὺς ἐκφωνεῖ· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ὑμῶν. Καὶ βαλὼν μετάνοιαν ὁ κατηχούμενος οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τῆς εὐχῆς Ὁ δὲ ἱερεὺς ἐπεύχεται οὕτως· Ἅγιε Κύριε τῶν δυνάμεων, κ. τ. λ. лл. 64 об.—65 об.; Goar. p. 410.

Εἶτα ἐγείρει αὐτόν, καὶ στραφεὶς ὁ ἱερεὺς πρὸς τὸν λαὸν λέγει. Κατήχησις γ' [3]). Τοῦτον δὲ τὸν πνευματικὸν σύλλογον, ἀδελφοί. θεωροῦντες, πειθόμεθα ταῖς θείαις Γραφαῖς, μὴ μόνον τὰς οὐρανίους πάσας δυνάμεις παρεῖναι, ἀλλὰ καὶ αὐτὸν τὸν Θεὸν ἀοράτως ἡμῖν συνεῖναι τῇ ὥρᾳ ταύτῃ. Ὅθεν. ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι. οἱ τῆς ἁγίας ἐκκλησίας τὴν εὐπρέπειαν ἀγαπήσαντες ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν ἡμῶν. ἐν τῇ σήμερον ἡμέρᾳ συνελθόντες, μετὰ (66) τοῦ προφήτου Δαβὶδ εἴπωμεν· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, καὶ δοξάζωμεν Χριστόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἐπὶ εὐεργεσίᾳ ψυχῶν, τῶν νῦν ἀφιερομένων αὐτῷ, ᾧ πρέπει πᾶσα δόξα, τιμή, κράτος καὶ προσκύνησις καὶ μεγαλοπρέπεια ἅμα τῷ ἀχράντῳ αὐτοῦ Πατρὶ καὶ

---

[1]) „Прилож." сс. 16—17. Наиболѣе крупнымъ отличіемъ текста по Схиматологію № 396 оказывается добавленіе къ словамъ: περίθες αὐτῷ τοῦ ζωοποιοῦ σοῦ σταυροῦ τὸν τύπον (такъ въ Румянцевскомъ Евхологіи) словъ: καθόπλισον αὐτὸν τῇ τούτου δυναστείᾳ, и къ словамъ: δια(60)τηρῶν αὐτὸν ἀπὸ μιαρῶν ἐπιθυμιῶν τῆς σαρκός. Конечно, множественныя числа лицъ, принимающихъ одновременно постриженіе по чину Румянцевскаго Евхологія, въ Московскомъ Синодальномъ Схиматологіи замѣнены числомъ единственнымъ, такъ какъ чинъ назначенъ здѣсь для одного лица.

[2]) Противъ словъ въ этой молитвѣ: διὰ τοῦ ἁγίου σου βαπτίσματος на поляхъ сдѣлана помѣтка киноварью: Γραπτέον διὰ τοῦ ἁγίου σου Πνεύματος (л. 62).

[3]) На поляхъ сдѣлана замѣтка: Ἄφες.

τῷ ἁγίῳ καὶ προσκυνητῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶτα κρατήσας τῆς δεξιᾶς χειρὸς αὐτοῦ, εἰσφέρει αὐτὸν ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ. Καὶ ποιεῖ (об.) μετανοίας τρεῖς ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ἀνιστάμενος ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον. Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ κατηχητὴς καὶ ὑποδεικνὺς αὐτῷ τὸ ἅγιον εὐαγγέλιον, λέγει πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως, κ. τ. λ.

Καὶ ὅταν συντάξηται, λέγει πρὸς αὐτὸν πάλιν ὁ ἱερεύς· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος τῷ ἡγουμένῳ. Εἰ δὲ ἔστιν (67) ἡγούμενος ὁ κουρεύων αὐτόν, λέγει αὐτῷ· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι. Καὶ ἄρας ἀπὸ τοῦ ἁγίου εὐαγγελίου τὸ ψαλλίδιον ὁ λαμβάνων τὸ σχῆμα, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρός, κ. τ. λ. Καὶ βαλὼν τῷ ἡγουμένῳ μετανοίαν, ὁ λαμβάνων τὸ σχῆμα ἐπιδίδει αὐτῷ τὸ ψαλλίδιον. Ὁ δὲ ἱερεὺς λαμβάνει τὸ ψαλλίδιον ἐν τῶν χειρῶν τοῦ ἡγουμένου, λέγων οὕτως· Εὐλογητὸς ὁ Θεός. ὁ θέλων, κ. τ. λ. (67 об.). Ὁ λαός· Ἀμήν. Καὶ ἐξάγει αὐτὸν ἔξωθεν τῶν ἁγίων θυρίων καὶ κλίνας τὴν κεφαλὴν αὐτοῦ ἐπεύχεται τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ, κ. τ. λ., лл. 68—69. Goar. p. 385. Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων οὕτως Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται, κ. τ. λ. (69).

Ἰστέον, ὅτι τοῦτο γίνεται, ὅτε οὐκ ἔστιν ἱερεὺς ὁ ἡγούμενος καὶ λειτουργεῖ ἕτερος. Καὶ εὐθέως παραλαμβάνουσιν αὐτὸν οἱ μοναχοὶ εἰς τὸ διακονικὸν ἢ εἰς τὸν νάρθηκα καὶ κουρεύουσιν αὐτόν, εἰ οὐκ ἔνι (ὁ) κουρευόμενος μικρόσχημος, λέγοντες καὶ τὸν Ἄμωμον, τοῦ τε ἱερέως ποιοῦντος τὴν εὐχὴν τοῦ Τρισαγίου, τοῦ διακόνου λέγοντος τὰ διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων.

Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε καὶ τῆς παρὰ τοῦ Κυρίου (об) [1]) σκέπης καὶ βοηθείας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀμέμπτως καὶ ἀκατακρίτως καὶ ἀνεμποδίστως τὸν σκοπὸν τοῦ μοναχικοῦ σχήματος διανῦσαι αὐτόν, τοῦ Κυρίου δεηθῶμεν.

---

[1]) Печатаемое въ рязрядку представляетъ собою или варіанты, или добавленія къ тексту ектеніи по изданію Гоара, pp. 412—413.

Ὑπὲρ τοῦ φωτισθῆναι τὴν ψυχὴν αὐτοῦ ἐν ἐγκρατείᾳ καὶ ἀσκήσει καὶ τελείῳ φόβῳ Θεοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς ἐπιθυμίας καὶ τῶν κατὰ σάρκα συγγενῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ συγχωρήσεως τῶν πλημμελημάτων αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν ὑψηλότερον τῶν τοῦ κόσμου φρονημάτων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διάγειν αὐτὸν ἐν πάσῃ εὐλαβείᾳ, καὶ σεμνότητι, καὶ τελείῳ φόβῳ Θεοῦ, τοῦ Κυρίου δεηθῶμεν(70).

Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθαι τὸν νέον, τὸν κατ' εἰκόνα Θεοῦ κτισθέντα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὑπὲρ πάντων, τῶν χρηζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας, τοῦ (Κυρίου δεηθῶμεν).

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης (θλίψεως).

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον.

Τῆς παναγίας ἀχράντου.

Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εἶτα τὸ Τρισάγιον. Τὸ προκείμενον τοῦ ἀποστόλου ἦχος γ'· Κύριος φωτισμός μου καὶ Σωτήρ μου. Στ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Πρὸς Ἐφεσίους ἐπιστολῆς· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ... конецъ: ὅ ἐστι ῥῆμα Θεοῦ. Ἀλληλούια, ἦχος πλ. δ'· Ἐπίβλεψον ἐπ' ἐμέ. Ἕτερον· Οὗτος ὁ πτωχὸς ἐκέκραξε, лл. 70 об.—71 об.

Λεγομένου δὲ τοῦ εὐαγγελίου, φέρουσι τὸν ἀποκαρέντα οἱ μοναχοὶ μέσον τῆς βασιλικῆς πύλης καὶ ἱστῶσιν αὐτόν, φοροῦντα κολόβιον, ἄζωστον ὄντα, ἀσκεπῆ καὶ ἀνυπόδετον. Καὶ ἅπτουσι καὶ οἱ παρόντες κηρούς, ἕως οὗ ὁ ἀσπασμὸς γένηται.

Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου... конецъ; καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν, л. 72 и об.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, ἄρχονται οἱ μοναχοὶ ψάλλειν τὸ α' ἀντίφωνον. Ἀντίφωνον α', τροπάριον ἦχος δ'.

Ἠνοίκται ἡ θύρα... (л. 72 об.).

στ. Προσέχετε λαός μου τῷ νόμῳ μου...

Ὁ ζυγός μου χρηστός ἐστι...

Δόξα καὶ νῦν, θεοτοκίον. Ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ θρόνος...

Πληρωθέντος δὲ τοῦ α΄ ἀντιφώνου καὶ ἀρχομένου τοῦ β΄ ἀντιφώνου (л. 73), ἔρχεται ἕως τοῦ ἄμβωνος. Ἀντίφωνον β΄, ἦχος γ΄.

Ἀρχὴ ὁδοῦ ἀγαθῆς φοβεῖσθαι τὸν Κυρίον [1])...

στ. Ἀρχὴ σοφίας φόβος Κυρίου.

Εὐαγγελικῆς φωνῆς σπουδαίως πρόσταγμα (л. 73 об)...

στ. Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν.

Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν...

Δόξα καὶ νῦν, θεοτοκίον· Ἁγιόπρωτε σεμνή...

Ἀρχομένου δὲ τοῦ τρίτου ἀντιφώνου, ἔρχεται πλησίον τῶν καγκέλλων τοῦ θυσιαστηρίου. Ἀντίφωνον γ΄, ἦχος α΄.

Ἀκολουθήσωμεν, ἀδελφοί (л. 74)...

στ. Ἐξαπόστειλον τὴν χεῖρά σου (74 об.), ἐξ ὕψους, ἐξελοῦ με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Καὶ τούτου λεγομένου τοῦ στίχου, κρατήσας ὁ ἡγούμενος ἢ ὁ ἱερεὺς ἐκ τῆς χειρὸς αὐτοῦ, εἰσάγει αὐτὸν εἰς τὸ βῆμα. Καὶ λέγεται τροπάριον, ἦχος α΄· Ὁ βασιλεὺς τῶν οὐρανῶν, τὰς χεῖρας ὑφαπλώσας (75)... Δόξα καὶ νῦν, θεοτοκίον· Χαίροις παρ' ἡμῶν ἁγία, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης...

Εἰσελθόντος δὲ αὐτοῦ εἰς τὸ ἅγιον βῆμα, ἐνδύει αὐτὸν ὁ ἀνάδοχος αὐτοῦ, λέγοντος τοῦ ἱερέως εἰς ἕκαστον ἔνδυμα εὐχήν (75 об.), ποιῶν εἰς αὐτὰ καὶ σφραγίδας.

Εὐχὴ τοῦ χιτῶνος· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα, κ. τ. λ. Goar p. 411.

Εὐχὴ τοῦ κουκουλίου· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας, κ. τ. λ.

Εὐχὴ τοῦ ἀναλάβου· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸν ἀνάλαβον, κ. τ. λ. (л. 76 и об.).

Εὐχὴ τοῦ λώρου. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφῦν, κ. τ. λ.

Εὐχὴ τοῦ παλλίου· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος (76 об.)...

Εὐχὴ τῶν σανδαλίων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια, κ. τ. λ.

---

1) На поляхъ: Ἄφες. Такое замѣчаніе объясняется, вѣроятно, тѣмъ, что текстъ пѣснопѣнія не совсѣмъ подходитъ къ совершаемому чину постриженія въ великую схиму, ибо въ текстѣ читаемъ: Διό, φιλόχριστοι, νῦν προσέλθετε αὐτῷ ἐκτενῶς καὶ λάβετε τὸν ἀῤῥαβῶνα τοῦ ἀγγελικοῦ σχήματος, κ. τ. λ.

Ἑτέρα εὐχή· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ ἀγγελικὸν καὶ ἅγιον σχῆμα...

Καὶ μετὰ τὸ ἀμφιασθῆναι αὐτόν, ἄρχονται ψάλλειν πάντες οἱ μοναχοὶ τροπάριον, ἦχος δ', πρὸς τὸ Ἠνοίκται ἡ θύρα· Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας (л. 77)... Στ. α'. Αὕτη ἡ πύλη... Στ. β'. Ἀγαλλιᾶσθε τῷ Θεῷ, τῷ βοηθῷ ἡμῶν... Στ. γ'. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει... Στ. δ'. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ... Δόξα καὶ νῦν, θεοτοκίον Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν (77 об.)...

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ κλίνοντος αὐτοῦ τὸν αὐχένα, τοῦ λαβόντος τὸ ἅγιον σχῆμα, ἐπεύχεται ὁ ἱερεύς. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου, κ. τ. λ. (лл. 78—79), Goar. pp. 411—412.

Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς καὶ πάλιν ἐπεύχεται Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου, κ. τ. λ. (лл. 80 и об.), Goar. p. 412.

Καὶ μετὰ ταῦτα, αἴρει ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον ἐκ τῆς (л. 80 об.) ἁγίας τραπέζης καὶ ἵσταται ἔξω τοῦ θυσιαστηρίου. Καὶ ἐξέρχεται καὶ ὁ λαβὼν τὸ ἅγιον σχῆμα. Καὶ προσκυνεῖ πρῶτον ὁ λαβὼν τὸ ἅγιον σχῆμα καὶ ἵσταται πλησίον τοῦ διακόνου ἐν τῷ δεξιῷ μέρει τοῦ κατέχοντος, ὡς εἴρηται, τὸ ἅγιον εὐαγγέλιον. Ἔπειτα καὶ οἱ μοναχοὶ πάντες διέρχονται (81 об.), προσκυνοῦντες πρῶτον τὸ ἅγιον εὐαγγέλιον, εἶτα ἀσπάζονται καὶ τὸν ἀποκαρέντα ἀδελφόν, ψάλλοντες τὸ παρὸν τροπάριον, μέχρις οὗ ἅπαντες ἀσπάζονται αὐτόν, ἦχος πλ. β'. Ἀγαλλιάσθω ἡ ψυχή μου... Στ. α'. Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Στ. β'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν.. στ. γ'. Ἀγαλλιασώμεθα ἐπὶ τὸ σωτήριόν σου.. Στ. δ'. Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ.. Δόξα καὶ νῦν, θεοτοκίον· Μεγάλων χαρισμάτων ἀγνή (л. 81)... Ψάλλεται καὶ τὸ παρὸν τροπάριον ἐν τῷ ἀσπασμῷ, ἦχος α'. Ἐπιγνῶμεν, ἀδελφοί (л. 81 об.). Στ. α'. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ.. Στ. β'. Ἀγαλλιάσονται τὰ χείλη μου... Στ. γ'. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι.. Δόξα καὶ νῦν, θεοτοκίον· Χαῖρε, Θεοτόκε Παρθένε...

Καὶ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, πληρωθῆναι δὲ καὶ τὰ τροπάρια, ἄρχεται διάκονος· Εἴπωμεν πάντες...

Εἰσέρχεται δὲ καὶ ὁ νεοφώτιστος εἰς τὸ ἅγιον θυσιαστήριον καὶ ἐκεῖ ἵσταται μέχρι τέλους τῆς θείας λειτουργίας, καὶ, τῶν ἁγίων Δώρων προσφερομένων, ὀφικεύει τούτων ἔμπροσθεν καὶ κοινωνεῖ, ἕσω ἱστάμενος.

Χρὴ δὲ εἰδέναι, ὅτι, τελεσθείσης τῆς θείας λειτουργίας, παραλαμβάνουσιν οἱ μοναχοὶ τὸν ἀποκαρέντα, βαστάζοντες καὶ κηροὺς ἅπτοντας, συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς (л. 82) τὸ τραπεζαρεῖον, τῶν ἀναδόχων αὐτοῦ κατεχόντων τῆς δεξιᾶς χειρός, καὶ οὕτως αὐτὸν ὀφικεύοντες, ψάλλοντες καὶ τροπάριον, ἦχος δ'. Κύριε,

Κύριε, ἐπίβλεψον ἐξ οὐρανίου καὶ ἴδε... Στ. ά. Ὁ ποιμαίνων... Στ. β'. Κύριε, Κύριε, ἐπίβλεψον... Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ... Στ. γ'. Ἐξέγειρον τὴν δυναστείαν σου... Στ. δ'. Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίβλεψον... Στ. ε'. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου... (82 οβ.). Στ. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν... Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ λαμπὰς ἡ ἄσβεστος...

Εἶτα ἀνισταμένων αὐτῶν ἀπὸ τοῦ ἀρίστου, συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν ἐκκλησίαν, ψάλλοντες τὸ προγεγραμμένον τροπάριον· Κύριε, Κύριε, ἐπίβλεψον... Στ. ά. Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Στ. β'. Ἡ καρδία μου καὶ ἡ σάρξ μου... Στ. γ'. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν... Δόξα καὶ νῦν· θεοτοκίον· Ἐκ πάντων κινδύνων τοὺς δούλους... (л. 83).

Καὶ ἀπολύουσιν· καὶ καταλιμπάνοντες τὸν ἀποκαρέντα ἐκεῖ· τὸ αὐτὸ δὲ ποιοῦντες τὰς ἑπτὰ ἡμέρας. Εἰ δὲ συμβῇ σωματικὴ ἀσθένεια, καὶ εἰς ε' ἡμέρας, καὶ εἰς γ' κατὰ μεγάλην ἀνάγκην ἀποκουκουλίζει αὐτόν. Διάταξις· Τὰς δὲ ἑπτὰ ἡμέρας ὁ νεοφώτιστος προσκαρτερεῖ τῇ ἐκκλησίᾳ, σχολάξων ἀπὸ παντὸς ἔργου. Τῇ δὲ ζ' ἡμέρᾳ ποιεῖ αὐτῷ ὁ ἱερεὺς εὐχὴν καὶ αἴρει τὸ κουκούλιον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, χαλῶν ὄπισθεν (83 οβ.).

Лл. 83 οβ. — 88 οβ. Ἀκολουθία καὶ νουθεσία εἰς τὸ ἀποκουκουλίασμα.

Μετὰ τὴν συμπλήρωσιν τῶν ἑπτὰ ἡμέρων, τελεσθείσης τῆς θείας ἱερουργίας, εἰσφέρει ὁ ἱερεὺς τὸν (83 οβ.) ἀποκαρέντα ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Καὶ λέγει ὁ διάκονος τὴν ἐκτενήν, ἢ ὁ ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ σωτηρίας, σκέπης καὶ ἀντιλήψεως τοῦ συγκαταριθμηθέντος ἡμῖν ἀδελφοῦ τοῦδε, ὑγείας καὶ σωτηρίας.

Ὑπὲρ τοῦ διατηρῆσαι Κύριον τὸν Θεὸν ἡμῶν ἄσπιλον καὶ ἀμώμητον ἐν αὐτῷ τὸ τίμιον σχῆμα μέχρι τέλους ξωῆς αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτὸν ἐν ἀμέμπτῳ καὶ σεμνῇ πολιτείᾳ τὸ ὑπόλοιπον τοῦ βίου διελθεῖν, τοῦ Κυρίου (δεηθῶμεν).

Ὑπὲρ τῆς ἐν Χριστῷ τελείας ὑπομονῆς καὶ ἀγάπης ἐν τῷ ἁγίῳ σχήματι, τοῦ Κυρίου (δεηθῶμεν).

Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτὸν ἀξίως τοῦ ἐπαγγέλματος πολιτευσάμενον (84) τυχεῖν τῆς οὐρανῶν βασιλείας, τοῦ (Κυρίου δεηθῶμεν).

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἐγγράψῃ τὸ ὄνομα αὐτοῦ ἐν βίβλῳ ζώντων, τοῦ (Κυρίου δεηθῶμεν).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχῃς, κ. τ. λ.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς ἐπεύχεται τὴν εὐχήν. Πολυέλεε Θεὲ καὶ Κύριε, κ. τ. λ., Goar. p. 419. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Ὁ ἱερεὺς επεύχεται (85). Εὐχή· Τὸν τῇ πυρίνῃ κεφαλῇ... Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε, ἕως τέλους εἰς τὸν ζυγόν σου, κ. τ. λ., Goar. p. 419.

Дальнѣйшія строки рукописи сильно затерты, и можно разобрать въ нихъ лишь слѣдующія слова:

Εἶτα ἐπαίρει ..
(ἄ)κρῳ τοῦ κουκουλίου...
αὐτοῦ, χαλῶν ὄπισθεν...
κατηχεῖ ὁ ἡγούμενος... εἰς ἐ-
πήκοον πάντων· τὴν...
ταύτην. Κατήχησις δ' πρὸ(ς) τὸν ἀποκαρέντα·

Ἰδού, ἀδελφέ, ἠξιώθης τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, κ. τ. λ., (лл. 86 об. — 88); см. выше, „Прилож.“ сс. 34—36.

Εἶθ' οὕτως βαλὼν μετάνοιαν ὁ ἀποκαρθεὶς τῷ προεστῶτι, ἀσπάζεται αὐτὸν ἢ τὸν ἱερέα. Ὁμοίως καὶ πάντας τοὺς μοναχούς, βαλὼν μετάνοιαν, ἀσπάζεται αὐτούς. Καὶ ἀπελθὼν ἐν τῇ τραπέζῃ, παρίσταται, διακονῶν τοῖς πνευματικοῖς αὐτοῦ ἀδελφοῖς. Καὶ οὕτως λοιπὸν σχολάζει ἐν τοῖς ἐργοχείροις αὐτοῦ (88 об.).

VI.

Изъ Евхологія XIV—XV в. Московскаго Румянцевскаго Музея, № 472.

Лл. 105 об.—108 об. Τάξις γινομένη εἰς ῥακενδυτοῦντα (л. 105 об.) τοῦ προπαιδευθῆναι καὶ δοκιμασθῆναι τὰ τῆς μοναδικῆς καταστάσεως.

Μετὰ δὲ τὸ τελεσθῆναι τὴν ἱερὰν μυσταγωγίαν, ἵσταται ὁ μέλλων λαμβάνειν τὴν ἁγίαν εὐλογίαν ἔσωθεν τῶν βασιλικῶν πυλῶν καὶ ποιεῖ τῷ ἡγουμένῳ μετανοίας γ', δεόμενος τοῦ εὐλογηθῆναι. Καὶ πληρουμένου τοῦ ὀπισθάμβωνος, ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν. Εἶθ' οὕτως· Δεῦτε προσκυνήσωμεν, γ'. Καὶ λέγει τὸν Ν'. Πληρουμένου δὲ τούτου, ψάλλει, ἦχος α'· Ἀγκάλας πατρικάς... Ὡς ὁ ἄσωτως υἱὸς ἦλθον κἀγώ, οἰκτίρμων· δέξαι με προσπίπτοντα... Δόξα· Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς καὶ τετραυματισμένος... Καὶ νῦν, θεοτοκίον· Εὐρύχωρον χωρίον (л. 106 об.)...

Τούτων δὲ ψαλλομένων, τίθενται τὰ ἄμφια τὰ μοναχικὰ ἔμπροσθεν τῶν ἁγίων θυρῶν τοῦ ἁγίου βήματος (л. 106 об.). Ἵσταται δὲ ὁ μέλλων εὐλογηθῆναι ἀσκεπής, ἄζωστος καὶ ἀνυπόδητος. Λέγων ὁ ἱερεὺς τὴν εὐχὴν εἰς ἐπήκοον πάντων· Ἅγιε, ἀγαθέ, ὁ τοῦ ἀγαθοῦ Πατρὸς Υἱός, ὁ καταργῶν τὴν ἔνστασιν τοῦ ἀντικειμένου καὶ ἐκχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τὰς κεφαλὰς τῶν ἁγίων, καὶ στέφων αὐτοὺς τῷ ἀφθάρτῳ καὶ ἀμαραντίνῳ στεφάνῳ τῆς ζωῆς καὶ τῆς ἀθανασίας. Αὐτός, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δώρησαι τὴν παρὰ σοῦ δύναμιν καὶ χάριν τῆς θεότητος ἐπὶ τὸ πνεῦμα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τοῦ παρὰ σοὶ προσελθόντος ἀδελφοῦ ἡμῶν καὶ αἰτουμένου σου δέξασθαι τὴν ἀπαρχὴν τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος ἐν τῷ ὀνόματί σου, τῷ ἁγιάξοντι τὰ σύμπαντα, ὁδηγῶν (118) αὐτὸν εἰς τὴν στενὴν ὁδόν, δι' ἧς διῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπειλήφασιν αὐτῶν τὸν τόπον τῆς ἀναπαύσεως, ἵνα καὶ τοῦτον ἁγιάζῃς ἐν τῷ ὀνόματί σου τῷ παντοδυνάμῳ καὶ ἀγαθῷ[1]). Ἐκφώνως· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...

---

[1]) Молитва имѣетъ большое сходство въ текстѣ съ молитвами σι' и σιβ' Барберинovскаго Евгологіи св. Марка, см. „Прилож." с. 2 и с. 3, а также съ молитвою Евхологія № 474 Румянцевск. Муз., л. 142 и об., см. „Прилож." сс. 12—13.

Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς... Ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεὸς ὁ μεγαλόδωρος, ὁ ἑλκύσας τὸν δοῦλόν σου τόνδε, ἀπόδυσον αὐτὸν τὴν κοσμικὴν ἐσθῆτα σὺν ταῖς πράξεσι καὶ ταῖς ἐπιθυμίαις καὶ ἔνδυσον αὐτὸν εἰς τὸ ἐνάρξασθαι ἔργον ἀγαθόν, δὸς αὐτῷ βίον ἐνάρετον, κ. τ. λ. (л. 107 об.—108); см. Εὐχολ., с. 769.

Καὶ κουρεύει αὐτὸν ὁ ἡγούμενος σταυροειδῶς, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρός, κ. τ. λ. Καὶ ἀλλάσσει τὸ ὄνομα αὐτοῦ, καὶ διαῤῥήσσει τὴν κοσμικὴν αὐτοῦ ἐσθῆτα ἀπὸ τοῦ στήθους ἕως τῆς ζώνης. Καὶ εὐλογεῖ τὰ ἄμφια τὰ μοναχικά, καὶ ἐνδύει αὐτόν, καὶ ζώννυσιν αὐτόν, καὶ σταυρικὸν ἐκτύπωμα κρεμᾷ ἐπὶ τὸν τράχηλον αὐτοῦ. Καὶ ὑποδύει αὐτὸν σανδάλια, καὶ εὐλογήσας μικρὸν κουκούλιον[1]) ἐπιτίθησιν αὐτῷ.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ πλούσιος ἐν ἐλέει καὶ δυνατὸς ἐν οἰκτιρμοῖς, κ. τ. λ., л. 108 об.; см. Εὐχολ., с. 221.

Καὶ ποιεῖ ἀπόλυσιν. Καὶ γίνεται ἀσπασμός. Ἐπιλέγουσι δὲ πάντες οἱ ἀδελφοὶ εἰς τὸν ἀσπασμόν· Ὁ Θεός, διὰ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, νά σε στηρίξῃ εἰς τὸν θεῖον φόβον αὐτοῦ.

Καὶ ποιεῖ μετανοίας πρῶτον εἰς τὸν Χριστόν, εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ εἰς τὸν ἅγιον τῆς μονῆς καὶ εἰς τὸν ἡγούμενον (л. 108 об.).

---

[1]) Въ рукописи, вѣроятно ошибочно, стоитъ κολόβιον, см. выше, „Прилож“. с. 25 и ср. Εὐχολ. с. 505 и с. 944.

Изъ того же Евхологія.

Лл. 108 об.—124 об. Ἀκολουθία τοῦ πρώτου σχήματος, ἤγουν τοῦ μανδύου (л. 108 об).

Ἀφ' ἑσπέρας προσφέρουσιν τὰ ἱμάτια τοῦ μέλλοντος ἐπὶ τὸν μονήρη βίον ἐλθεῖν καὶ τιθέασιν αὐτὰ εἰς τὸ ἅγιον θυσιαστήριον. Καὶ ἐπὶ τὴν αὔριον, μετὰ τὸ ποιῆσαι τὴν συνταγὴν πρὸς τὸν ἡγούμενον καὶ τὴν τῆς κατηχήσεως τελείωσιν, εἰσάγεται ὁ μέλλων ἀποκαρῆναι καὶ ἵσταται εἰς τὰς ὡραίας πύλας. Καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τὰ ἀντίφωνα μετὰ τῶν μακαρισμῶν. Καὶ ψάλλομεν τροπάρια, ἦχος α'· Ἀγκάλας πατρικάς.

Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων (109 л.)...

Ὅτι ἐννοίαις πονηραῖς καὶ ἔργοις...

Ἁμαρτωλῶν τὰς δεήσεις...

Ἥμαρτον εἰς σέ, Σωτήρ, ὡς ὁ ἄσωτος υἱός...

Κράζω σοι, Χριστὲ Σωτήρ, τοῦ ἀσώτου τὴν φωνήν...

Τὴν πᾶσαν ἐλπίδα μου...

Ποιεῖ μετάνοιαν καὶ εἰσέρχεται εἰς τὴν σολέαν. Εἶτα τὰ λοιπά, ἦχος γ', ἀντίφωνα.

Σῶσόν με, Κύριε ὁ Θεός μου...

Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε, Κύριε...

Ἐν γυναιξὶν ἁγία Θεοτόκε...

Дальнѣйшіе листы при переплетѣ рукописи перепутаны. такъ что послѣ л. 109 об. надо смотрѣть л. 111.

Πρόβατον εἰμί τῆν λογικῆς σου ποίμνης...

Πλῦνόν με τοῖς δάκρυσι...

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι... Τίς χειμαζόμενος [1]). Ὁ διὰ σε Θεοπάτωρ προφήτης Δαβίδ...

---

[1]) Въ Схиматологіи XIII в. № 396 Моск. Синод. б. эти же тропари располагаются въ послѣдованіи малой схимы въ другомъ порядкѣ, именно: Ἤθελον δάκρυσιν... Τίς χειμαζόμενος... Πρόβατον εἰμί... Πλῦνόν με... Ὁ διὰ σε... (л. 13).

Εἶτα εἰσέρχεται ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ποιεῖ μετανοίας γ' καὶ ἔμπροσθεν τοῦ ἡγουμένου γ', κἀκεῖ ἱστάμενος, ἐρωτᾶται ὑπὸ τοῦ ἡγουμένου· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων, κ. τ. λ. (л. 111 об.). Ἀπόκρισις· Ποθῶν τὸν βίον τῆς ἀσκήσεως, τίμιε πάτερ. Ἐρώτησις· Ποθεῖς ἀξιωθῆναι τοῦ μοναχικοῦ σχήματος καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν μοναζόντων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ὄντως καλὸν ἔργον καὶ μακάριον... καὶ γὰρ πεινᾶσαι μέλλεις καὶ διψῆσαι καὶ γυμνητεῦσαι καὶ χαμευνῆσθαι, ὑβρισθῆναί τε καὶ ὀνειδισθῆναι καὶ πάντα θλιβερὰ παθεῖν· καὶ ἐὰν ὑπομένῃς, θάρσει, ἀδελφέ, ὅτι εἰ καὶ προσολίγον ὁ κάματος (л. 122 об.) ἀλλ' αἰωνία ἡ ἀνάπαυσις. Дальнѣйшіе вопросы и отвѣты—какъ у Гоара, p. 383, но съ присоединеніемъ вопроса объ отреченіи отъ міра, ibid. p. 338: Variae lectiones, g. Ср. „Прилож". с. 32.

За вопросами и отвѣтами слѣдуетъ такое оглашеніе:

Βλέπε, τέκνον, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ· ἄγγελοι γάρ εἰσιν οἱ ἀπογραφόμενοι τὴν ὁμολογίαν (112) σου ταύτην, ἣν καὶ μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [1]). Ἀδελφέ μου [2]), σωθῆναι θέλων; βλέπε σεαυτόν, περίσφιγξόν σου τὸν νοῦν ἀπὸ πάσης φαντασίας· ἀπόῤῥιψον ἀπὸ σοῦ πᾶσαν ἡδυπάθειαν [3]) σαρκικήν· ἀπόδου πᾶσαν μέριμναν [4])· ἀπόδου πάντα τὰ ἤθη τοῦ κόσμου. Ἀδελφέ μου, μονάσαι παραγέγονας; μόνασόν [5]) σου τὴν ψυχὴν ἀπὸ πάσης φροντίδος, τῆς ἐν τῷ οἴκῳ σου ὑπαρχούσης, ἧγουν τοῦ προσκαίρου βίου, μηδαμῶς [6]) τοῦ λοιποῦ μεριμνῆσαι ὀφείλεις, ὧν νῦν ἐᾶσαι βούλει πραγμάτων, ἢ πατρός, ἢ μητρός, ἢ ἀδεφοῦ [7]), ἢ ἀδελφῆς, ἢ τέκνου, ἢ τῶν λοιπῶν συγγενῶν σου.

---

[1]) Нижеслѣдующее поученіе издано проф. А. А. Дмитріевскимъ по ркп. XV в., № 73 (274) Іерусалимской патріаршей библ. съ варіантами по ркп. XIII в. № 967 Синайской библ.: см. Ε ὐ χ ο λ. сс. 507—510. По сравненію съ обѣими рукописями, текстъ поученія въ издаваемомъ нами чинѣ монашескаго постриженія по Евхологію Румянцевск. Муз. имѣетъ довольно крупныя отличія, которыя и побуждаютъ насъ привести текстъ поученія въ Румянцевскомъ Евхологіи п о л н о с т і ю, съ указаніемъ при этомъ важнѣйшихъ варіантовъ по ркпп. XV в. № 73 (274) Іерусалимской патріаршей библ. и XIII в. № 967 Синайской библ.

[2]) Іерус. добавляетъ послѣ этихъ начальныхъ словъ обращенія: καταλιμπάνεις τὸν βίον. [3]) Іерус. вмѣсто ἡδυπάθειαν имѣетъ φαντασίαν. [4]) Ἀπόθου πᾶσαν μέριμναν Іерус. отпускаетъ. [5]) Іерус. μονάσαι. [6]) Іерус. οὐδαμῶς. [7]) Іерус. ἢ ἀδελφῶν, ἢ γυναικός, ἢ ἀνδρός, ἢ τέκνων, ἢ τῶν λοιπῶν συγγενῶν.

[1]) Τὸν μονήρη βίον [2]) ἐλήλυθας βιοῦσαι [3]); δίωξον ἀπὸ τῆς σῆς [4]) καρδίας βρωμάτων τὰ ἡ(οδ.)έα πάντα [5]), οἴνου τε τὸ πλεῖστον, τῶν ἐνδυμάτων τὰ μαλακά, τὸν ὕπνον, τὸν γέλωτα, τὴν ἄνεσιν, τὸν θόρυβον, τοὺς ὅρκους, τὸν ἐν ταραχῇ περίπατον [6]), τὴν ἀπρεπὴν ὁμιλίαν [7]), τὴν μανιώδη ὀξύτητα [8]), τὴν κακίαν, τὴν ἔριν, τὸν φθόνον, τὴν ἔχθραν, καὶ πάντα τὰ ὅμοια αὐτῶν. Ἀδελφέ [9]), τὸν θόρυβον τοῦ κόσμου ἐμίσησας καὶ τὴν ἡσυχίαν ἠγάπησας [10]); ἀναλαβοῦ [11]) πραότητα [12]) καὶ ὑπομονήν [13]), τὴν ἀδιαφόρῳ λόγῳ τε καὶ ἔργῳ γινομένην· τὰ χρηματικὰ [14]) ἀπόθου, πόθησον δικαιοσύνην, τὴν ἀκτημοσύνην [15]) μητέρα. Ἀγαπητέ, εἰρηνεῦσαι ζητεῖς; ἠρέμησόν [16]) σου [17]) τοὺς ἀτάκτους λογισμοὺς καὶ [18]) φιλοκάλησόν σου τὴν πρόθεσιν ἐκ τῶν παθῶν, τῶν φθειρόντων τὸν ἔσω (113) ἄνθρωπον [19]), ἡμέρωσόν σου τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς ἐν γῇ βαθείᾳ καταβαλλόμενος τὰ ἐκ τῶν θείων Γραφῶν λόγια [20]), ἵνα δι' αὐτῶν ὁδηγηθῇς [21]) καὶ εἰς τὴν πνευματικὴν γνῶσιν· ὥσπερ οὐκ ὠφελήσει οὐδὲν ἀνθρώπῳ, ῥίπτοντι σπέρμα σίτου ἐν τόπῳ χέρσῳ, ἐν ᾧ τῶν ἀγρίων βοτανῶν αἱ ῥίζαι τυγχάνουσιν, αὐξανομένων γὰρ τῶν τοιούτων βοτανῶν, ἀποπνίγεται ὁ σίτος, καθὼς φησὶν ἐν εὐαγγελίοις ὁ Κύριος· τὸν αὐτὸν τρόπον οὐδὲν ὀνήσουσι τῶν θείων Γραφῶν οἱ λόγοι εἰς ψυχήν, ἐν ᾗ τυγχάνουσι τῶν ἀγρίων λογισμῶν αἱ ῥίζαι [22]),

---

[1]) Іерус. начинаетъ этотъ отдѣлъ обращеніемъ: Ἀγαπητέ. [2]) Іерус. τῷ μονήρει βίῳ. [3]) Іерус. ἀσκῆσαι. [4]) Іерус. σου. [5]) Іерус. τῶν βρομάτων πάντων τὰ ἡδέα. [6]) Іерус. τὸν ταχὺν περίπατον. [7]) Іерус. τὰς ἀπρεπεῖς ὁμιλίας, τὸν δόλον. [8]) Іерус. далѣе: τὴν μνησικακίαν, τὸν ζῆλον, τὸν φθόνον, τὴν ἔχθραν, τὴν φιλονικίαν καὶ πάντα τὰ ὅμοια αὐτῆς. Дальнѣйшую тираду, со словъ: Ἀδελφέ μου, τὴν ἀγγελικὴν ποθεῖς πραγματεύσασθαι πολιτείαν, κ. τ. λ., и кончая словами: τὴν τοῦ σώματος χαλιναγωγὸν καὶ καταστολήν, Румянц. опускаетъ. [9]) Іерус. добавляетъ μου. [10]) Іерус. ἐπεπόθησας. [11]) Іерус. ἀναλαβέσθαι. [12]) Іерус. добавляетъ σπούδασον. [13]) Іерус. послѣ этого: λέγω δὴ τὴν ἀδιάστροφον λόγῳ τε καὶ ἔργῳ. [14]) Іерус. τὰ χρήματα. [15]) Іерус: τῆς ἀκτημοσύνης. [16]) Іерус. εἰρήνευσον. [17]) Іерус. опускаетъ σου. [18]) Іерус. далѣе имѣетъ: καὶ τὴν σὴν καρδίαν ἀπὸ τούτων ἀεὶ διατήρησον καθαράν. [19]) Къ Румянц. приближается Синайск., гдѣ читаемъ: καὶ φιλοκάλησον τὴν σεαυτοῦ πρόθεσιν ἐκ τῶν οἰκίων λογισμῶν τῶν φθειρόντων ἀνθρώπων. [20]) Іерус. добавляетъ: ἅπερ εἰσὶ σωτηρίας σπέρματα καὶ πνευματικὴ τροφή. [21]) Іерус. далѣе: πρὸς τὴν γνῶσιν τὴν ἀληθῆ τῶν αἰωνίων καλῶν. [22]) Эта тирада, начиная съ ὥσπερ οὐκ ὠφελήσει οὐδὲν и до словъ: αἵτινες εἰσίν· иначе излагается въ Іерус., именно: καὶ γὰρ ὥσπερ τὰ σπέρματα ἐν τόπῳ χερσώδει ἀποπνίγεται ὑπὸ ἀγρίων βοτανῶν, καθὼς φησὶν ἐν εὐαγγελίοις ὁ Κύριος, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ λόγοι τῶν θείων Γραφῶν συμπνίγονται καὶ οὐ τελεσφοροῦσιν ἐν τῇ γῇ τῆς ψυχῆς τῇ χερσώδει, ἐὰν μὴ πρῶτον αἱ ῥίζαι τῶν ἀκαθάρτων λογισμῶν ἐξ αὐτῆς ἐκβληθῶσιν.

αἵτινες εἰσίν· ἐπιθυμία [1]) πλούτου [2]), ἐπιθυμία [3]) βρωμάτων, ἐπιθυμία φιλαρχίας. Ἀδελφέ, ἐπὶ σωτηρίᾳ παραγέγονας τῆς σῆς ψυχῆς· πρόσδραμε προθύμως τῷ Δεσπότῃ ἡμῶν Χριστῷ καὶ [4]) ἀγάπησον αὐτὸν ἐξ ὅλης σου (об.) τῆς ψυχῆς καὶ τῆς διανοίας, ἀποθούμενος πάντα τὸν κόσμον. Ὅρα, μὴ ἔγκειταί τι τῶν εἰρημένων παθῶν [5]) ἐν τῇ σῇ καρδίᾳ. καὶ γέννηταί σοι ἀργὸν τὸ ἐπιχείρημα. Καθαρὸς ἐστὶν ὁ νυμφίος, καθαρεύειν θέλει τὰς ψυχὰς [6]) τῶν προσερχομένων [7]) αὐτῷ ἀπὸ πάσης πονηρᾶς ἐπιθυμίας, ἵνα, τούτων ἀπεχόμενος, γένῃ πνευματικός [8]). Βλέπε οὖν, καθαρᾷ διανοίᾳ πρόσελθε [9]) τῷ βήματι [10]), μὴ ἐν δισταγμῷ τινὶ ἐνδύσῃ [11]) τὴν νυμφικὴν στολήν, ἵνα ὁρῶν σου τὸ πρόθυμον ὁ νυμφίος ἐκεῖ σε κατατάξῃ εἰς τοὺς τῶν ἀγγέλων χορούς [12]), ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, διὰ τῆς χάριτος καὶ ἀγάπης Χριστοῦ, τοῦ νυμφίου ἡμῶν [13]), ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας, ἀμήν (114).

Κἀκείνου βάλλοντος μετάνοιαν, λέγεται ἡ κατήχησις αὕτη μετὰ διδασκλίας. Это оглашеніе—обычное: Goar pp. 383—384; только заканчивается оно иначе, именно—словами: ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν, и, так. обр., не сопровождается вопросомъ: Ταῦτα πάντα οὕτω καθομολογεῖς. κ. τ. λ.

Послѣ оглашенія: Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι... Goar. p. 385. Καὶ ἐπιθεὶς τὴν χεῖρα αὐτοῦ ὁ ἱερεὺς ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος ἀποκαρῆναι, λέγει. Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς (116 об.) τῶν δυνάμεων [14])... Goar. p. 389, Variae lectiones, s.

Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, κειμένου καὶ τοῦ ψαλλιδίου ἐπάνω αὐτοῦ. Ἐπιδίδωσιν αὐτὸ ὁ μέλλων ἀποκείρεσθαι (л. 110) τῷ ἡγουμένῳ, καὶ ὁ ἡγού-

---

[1]) Іерус. и Синайск. ἐπιθυμίαι. [2]) Іерус. πάσης σαρκικῆς ἡδονῆς; Синайск. ἡδονῆς σαρκικῆς, ἐπιθυμίαι πλούτου. [3]) Іерус. οἷον βρομάτων, χρημάτων, φιλαργυρίας, δόξης καὶ τῶν τούτοις ὁμοίων; Синайск. ἐπιθυμίοι βρομάτων, ἐπιθυμίαι φιλαρχίας καὶ τὰ τούτοις παραπλήσια. [4]) Въ Іерус. это мѣсто читается нѣсколько иначе: Εἰ οὖν ἐξ ὅλης σου τῆς ψυχῆς τῷ Κυρίῳ προσέδραμες, ἀδελφέ, ἀγάπησον κ. τ. λ. [5]) Іерус. παθῶν опускаетъ. [6]) Іерус. τὴν ψυχήν. [7]) Іерус. τὴν προσερχομένην. [8]) Іерус. добавляетъ: ἀνήρ, τὴν κατὰ πνεῦμα ζωὴν ἀσπασάμενος. [9]) Іерус. προσέλθε. [10]) Іерус. добавляетъ: τοῦ Χριστοῦ. [11]) Іерус. ἐνδυθῆναι θελήσῃς τὴν ἀγγελικὴν ταύτην στολήν, ἀλλ' ἐν ἁπλότητι καὶ ἀδιστάκτῳ καρδίᾳ. [12]) Іерус. ἐν τῷ χορῷ τῶν ἀγγέλων. [13]) Синайск. διὰ τῆς χάριτος καὶ ἀγάπης τοῦ νυμφίου.

[14]) Окончаніе этой молитвы надо смотрѣть въ издаваемой рукописи на л. 110.

μενος πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. Βλέπε, ὅτι οὐδείς σε ἀναγκάξει ἐλθεῖν ἐπὶ τούτῳ τῷ σχήματι. Βλέπε, ὅτι σὺ ἐκ προθέσεως θέλεις τὸ ἀγγελικὸν σχῆμα. Καὶ ὅτε συντάξεται, λέγει ὁ ἱερεύς· Ἰδοὺ ἐκ χειρὸς Κυρίου λαμβάνεις, κ. τ. λ.

Καὶ ἀποκείρει αὐτὸν σταυροειδῶς, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα, κ. τ. λ.

Εἶτα κουρεύουσιν αὐτὸν (л. 110 об.) οἱ ἀδελφοί[1]), λέγοντες τὸν Ἄμωμον.

Εἶτα ἐνδύει τὸ ἱμάτιον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸν χιτῶνα τῆς δικαιοσύνης, εἴπωμεν ὑπὲρ αὐτοῦ...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας εἰς νέκρωσιν σώματος καὶ ἀνακαίνισιν πνεύματος, εἴπωμεν ὑπὲρ αὐτοῦ...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιβάλλεται τὴν περικεφαλαίαν τοῦ τιμίου προσχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον εἰς ἀῤῥαβῶνα τοῦ ἀγγελικοῦ σχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια εἰς ἑτοιμασίαν τοῦ εὐαγγελίου τῆς εἰρήνης, εἴπωμεν ὑπὲρ αὐτοῦ...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ πρόσχημα τοῦ (117) ἀγγελικοῦ σχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον.

Καὶ εὐθὺς ποιεῖ ὁ ἱερεὺς συναπτήν· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν, κ. τ. λ., лл. 117 об.—118, Goar. pp. 412—413. Въ ектеньѣ отсутствуетъ лишь прошеніе объ архіепископѣ и пр.

Εἰ βούλει εἰπεῖν ἀποστολο-ευαγγέλιον, ζήτει ἔμπροσθεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων, κ. τ. λ., л. 118 и об.. Goar. p. 385.

Καὶ εὐθὺς ἀσπάζεται τὸ εὐαγγέλιον καὶ τοὺς ἀδελφούς, κατέχοντας τοὺς κηροὺς ἁπτομένους. Ψάλλομεν δὲ καὶ στιχηρά, ἦχος α'· Ἐπιγνῶμεν... Καὶ εἰ μὲν ἐστὶ λειτουργία, λέγει τὴν ἐκφώνησιν τοῦ Τρισαγίου, καὶ ἄρχονται τοῦτο. Εἰ δ' οὐκ ἔστι, ποιεῖ ἀπόλυσιν, καὶ ἀπέρχονται οἱ ἀδελφοὶ μετὰ τοῦ νεολέκτου (119), ψάλλοντες· Κύριε, Κύριε, ἐπίβλεψον... Καὶ λέγουσιν αὐτό, ἕως ἀπέλθωσιν εἰς τὸ κελλίον, τὸ ἑτοιμασθέν αὐτῷ (119 об.).

---

[1]) Со слова οἱ ἀδελφοὶ см. л. 117 рукописи.

VII.

Изъ Евхологія XV в. Московскаго Румянцевскаго Музея. № 473.

Лл. 90 об.—97 об. Ἀκολουθία τοῦ μικροῦ σχήματος, ἤγουν τοῦ μανδύου.

Ἀφ' ἑσπέρας προσφέρουσι τὰ ἱμάτια αὐτοῦ καὶ τίθουσιν εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ τὴν αὔριον, μετὰ τὸ ποιῆσαι τὴν συνταγὴν εἰς τὸν ἡγούμενον καὶ τὴν τῆς κατηχήσεως τελείωσιν, εἰσάγεται ὁ μέλλων ἀποκαρῆναι, καὶ ἵσταται εἰς τὰς ὡραίας πύλας μονοχίτων, ἄδετος τὴν ὀσφὺν αὐτοῦ, ἀσκεπής, γυμνός τε ποσὶ καὶ ὄρθιος. Καὶ εἰ μὲν ἔστι λειτουργία, μετὰ τὴν μικρὰν εἴσοδον τὸ κοντάκιον φάλλεται τῆς ἡμέρας (30). Εἶτα ἄρχεται ὁ ἐκκλησιάρχης φάλλειν τροπάριον, ἦχος α'· Ἀγκάλας πατρικάς. Εἰ δὲ οὐκ ἔστι λειτουργία, εὐλογήσαντος τοῦ ἱερέως, τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Δεῦτε προσκυνήσωμεν γ'. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες... (л. 91). Εἶτα τὸν Ν, Ἐλέησόν με, ὁ Θεος... Καὶ εὐθὺς τὰ τροπάρια, ἦχος α'· Ἀγκάλας πατρικάς... Ὁ δὲ ἀδελφὸς ποιεῖ μετανοίας γ' ἔσωθεν τῶν πυλῶν, καὶ ὁδηγῶν αὐτὸν ἐκκλησιάρχης ἔρχεται ἐν τῷ μέσῳ τοῦ ναοῦ, κἀκει πάλιν ποιεῖ μετανοίας γ', εἰσέρχεται εἰς τὰς ἁγίας εἰκόνας καὶ προσκυνεῖ καὶ ἀσπάζεται αὐτάς. Εἶτα εἰσέρχεται εἰς τὴν σωλείαν. Ἡμεῖς δὲ ψάλλομεν στιχηρὰ ἀντίφωνα, ἦχος α'. Ὅτι τὸ πέλαγος πολύ, κ. τ. λ., какъ выше, въ Евхологіи № 472 „Прилож." с. 57.

Πληρουμένων τῶν στιχηρῶν τούτων. εἰσέρχεται ἔμπροσθεν τοῦ βήματος, καὶ ποιήσας μετάνοιαν τῷ καθηγουμένῳ, ἐπερωτᾶται παρ' αὐτοῦ, λέγων· Τί προσῆλθες ἀδελφέ... Вопросы и отвѣты—обычные, при чемъ слова іерея: Ὄντως καλὸν ἔργον осложнены такимъ же добавленіемъ, какъ и въ Евхологіи № 472[1]).

Εἶτα, т. е. послѣ обычнаго оглашенія, κλίνει τὴν κεφαλὴν μικρόν, καὶ ὁ ἱερεὺς εὔχεται οὕτως· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι, κ. τ. λ., л. 94 об.; Goar. p. 385. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ἑτέρα εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων, κ. τ. λ., л. 95 и об.; Goar. p. 385.

---

[1]) См. выше, „Прилож." с. 58.

Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν· Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν πνευματικὸν ἡμῶν ἀδελφόν, κ. τ. λ., лл. 95 об.—96; Goar. p. 389, Variae lectiones, s.

Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, κειμένου ἐπάνω τοῦ ψαλιδίου, λέγει τῷ ἀδελφῷ. Ἰδοὺ ὁ Χριστός, κ. τ. λ., л. 96 об.

Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός... εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως, εἰς τὸ ὄνομα... εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον.

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον, τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, εἴπωμεν...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας εἰς τὸ ὄνομα τοῦ Πατρός...

Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν ὀνόματι τοῦ Πατρός κ. τ. λ. (96).

Καὶ κλίνοντος δὲ τὴν κεφαλὴν τοῦ κουρεύοντος, ὁ ἱερεὺς ἐπεύχεται οὕτως. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, (ἡ) δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, κ. τ. λ., см. Евхологій Румянц. муз. № 474, лл. 143 об.—144 [1]).

Εἶτα ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τοὺς ἀδελφοὺς ἅπαντας. Παραλαβόντες δὲ οἱ ἀδελφοὶ αὐτόν, κουρεύουσιν ἐν τῷ νάρθηκι, λέγοντες τὸν Ἄμωμον [2]).

Εἶτα ἐλθὼν, ἵσταται ἐν τῇ ἐκκλησίᾳ καὶ μεταλαμβάνει τῶν θείων μυστηρίων. Πληρουμένης δὲ τῆς θείας λειτουργίας, ὀφικεύουσιν αὐτὸν (97) οἱ ἀδελφοὶ μέχρι τῆς τραπέζης, κἀκεῖ διακονεῖ. (л. 97 об.).

---

[1]) Прилож. сс. 13—14.

[2]) На поляхъ приписка: Ἡμεῖς δὲ ψάλλομεν, ἦχος α', Ἐπιγνῶμεν, ἀδελφοί. Ζήτει αὐτὸ εἰς τὸ τελος τοῦ σχήματος.

VIII.

Изъ Сборника аскетическаго характера, принадлежащаго Библіотекѣ Императорской Кіевской дух. Академіи, № 82.

Лл. 207—209. Περὶ τοῦ, πῶς λαμβάνειν τὸ ἅγιον σχῆμα.

Ὁ ἀρχάριος ῥασοφόρος.

Ὁ μέλλων καὶ βουλόμενος εἰσιέναι εἰς μοναστήριον τοῦ λαβεῖν τὸ ἅγιον σχῆμα ὀφείλει προσελθεῖν τῷ ἁγίῳ ναῷ, καὶ ποιήσας μετανοίας γ΄ ἔμπροσθεν τῶν ἁγίων θυρῶν ἢ τῆς ἁγίας εἰκόνος, ἔπειτα τῷ καθηγουμένῳ καὶ τοῖς ἀδελφοῖς. Εἰθούτως, τοῦ ἱερέως ποιήσαντος Εὐλογητόν, τὸ Τρισάγιον παρὰ τῶν ἀδελφῶν, ψαλλόντων καὶ τὰ τροπάρια ταῦτα, ἦχος πλ.β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς...

Δόξα· Κύριε, ἐλέησον ἡμᾶς (207)...

Καὶ νῦν· Τῆς εὐσπλαγχνίας τὴν πύλην...

Καὶ αὖθις πρῶτον κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Τοῦ Κυρίου δεηθῶμεν· Ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα κεί(οβ.)ρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρός, ἀμήν· καὶ τοῦ Υἱοῦ, ἀμήν· καὶ τοῦ ἁγίου Πνεύματος, ἀμήν· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶτα εὐθὺς ἐνδύει αὐτὸν τὸν χιτῶνα καὶ καμηλαύχιον, μηδὲν ἐπιλέγων.

Εἶτα τὴν εὐχὴν τοῦ ἀρχαρίου ῥασοφοροῦντος. Τοῦ Κυρίου δεηθῶμεν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, κ. τ. λ. (208 и об.); Goar. p. 378. Τοῦ Κυρίου δεηθῶμεν· Εἰς τὸν ζυγόν σου, Δέσποτα, κ. τ. λ., (208 об.—209); Goar. pp. 378—379.

Καὶ ποιεῖ ἀπόλυσιν (209).

IX.

Изъ Схиматологіи XIII в. Московской Синодальной (б. патріаршей) библ. № 369, лл. 1—12.

О происхожденіи монашества и о монашескомъ постриженіи.

Заголовокъ статьи, писанный киноварью, стертъ.

Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦ ἁγίου καὶ φιλανθρώπου καὶ ἀγαθοῦ Θεοῦ ἡμῶν γέγονέ τε τὸ θεότευκτον καὶ ὑπερφυὲς ἔργον τοῦτο, (δ) τῇ παραβάσει τῆς ἐντολῆς διεφθείραμεν καὶ ὑποχείριον τῷ θανάτῳ καὶ τῇ φθορᾷ ἐλεεινῶς πεποιήκαμεν. Ὅθεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, μὴ φέρων ἡμᾶς ὁρᾶν (1) οὕτως ὑπ' αὐτῶν τυραννουμένους, διὰ τῆς ἀχράντου αὐτοῦ καὶ πολυυμνήτου σαρκώσεως, ἠλευθέρωσε πάντων τῶν καταδυναστευόντων ἡμᾶς, καὶ εἰς τὴν ἀρχαίαν εὐγένειαν ἐπανήγαγε, καὶ τὴν ἐν παραδείσῳ δίαιταν ἐχαρίσατο καὶ οὐρανοπολίτας εἰργάσατο, καὶ υἱοθεσίας βάπτισμα ἐδωρήσατο, καὶ ἔνδυμα ἀφθαρσίας ἠμφίεσε, καὶ Πνεύματος ἁγίου μετουσίαν δεδώρηκε, καὶ πρὸς τούτοις ἕτερον ἄμφιον καὶ θεῖον βάπτισμα ἐμπαρέσχετο, τὸ τῆς παρθενίας ἀγλάϊσμα, τὸν μονήρη, λέγω (1 об.), βίον, ἐπένδυμα τῆς πρώτης ἀναγεννήσεως ὄντα, καὶ δίωξιν καὶ ὀλετῆρα τῆς κακίας, καὶ, ὡς εἰπεῖν, τεῖχος καὶ ὀχύρωμα τῶν θείων μυήσεων, καὶ τῶν δαιμόνων κατάπτωσιν, μονονουχὶ καινῶν δωρημάτων εὕρεμα, καὶ ἐλλάμψεων νεουργῶν καὶ τῆς ἐν παραδείσῳ ἀρχαίας ζωῆς καὶ πολιτείας ἐγκαινισμὸν καὶ φανέρωσιν.

Οὐκ ἦν ἐν παραδείσῳ κρεοφαγία, ἦ καρυκεία, ἦ ὅσα νῦν ἡ λίχνος ἐφεῦρε, γαστριμαργία—σοφίσματα, τὴν σάρκα τέρποντα καὶ τὴν κόπρον αὐξάνοντα καὶ τὴν ἐπιθυμίαν πληθύνοντα (2). Οὐδὲ ἡ τῶν ἐνδυμάτων κενόδοξος σοφία, ἀλλὰ κατάστασις αὐτοσχέδιος, ἀπεοικως[1]) οὐδ' ὅλως

---

[1]) Слѣдовало бы сказать: ἀπεοικυῖα.

τῆς τῶν ἀγγέλων κατὰ σύγκρισιν ἐδωδῆς. Οὐκ ἔστιν οὐδὲ ἐν τῇδε τῇ πολιτείᾳ καὶ τῷδε τῷ θείῳ βαπτίσματι τοιοῦτόν τι θεάσασθαι, ἀληθὴς δὲ κατάστασις τῆς πρώτης πλάσεως καὶ ζωῆς. Καὶ ὅσοι ἀνδρειόφρονι γνώμῃ καὶ διαπύρῳ πίστει καὶ φίλτρῳ εἰσεπήδησαν ἐν τῷ ἀγῶνι τοῦ μονήρους βίου, οὗτοι τὴν φύσιν πεσοῦσαν ἀνέστησαν καὶ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐνεούργησαν καὶ (2 ob.) ὑπέδειξαν ἡμῖν τοῖς ῥαθύμοις προαιρέσει πνεύματος καὶ ψυχῆς τὸ ἀγαθὸν κατορθούμενον καὶ οὐ δυνάμει σώματος ἢ ἀντεμπλοκῇ τῶν ἐναντίων εἰργόμενον, εἴπερ ἄρα βλέπειν ὀρθῶς δεδιδάγμεθα.

Ἡ ἀρχὴ τοιγαροῦν τοῦ καθ' ἡμᾶς βίου εἴληπται οὐχ, ὥς τινες οἴονται, ἀπὸ Μελχισεδέκ, ἢ Ἠλιού, ἢ Ἰωάννου, καὶ τῶν Ἐσσαίων ἐκείνων, ἀλλ' ἐκ τῆς ἐν παραδείσῳ πρώτης νομοθεσίας καὶ πολιτείας, ἥτις καὶ μέχρι τοῖς κατὰ τὸν Νῶε χρόνοις ἐν ὀλίγοις διετηρήθη καὶ ἐφυλάχθη (3), οὐχ' ὡς ἐχρῆν δέ, ἀλλ' ὡς οἱ τότε χρόνοι ἀπήτουν. Ἀπὸ δὲ τοῦ Νῶε καὶ μέχρι τοῦ Ἰωναδὰβ ἐκείνου σαφέστερον παραγυμνοῦσθαι ἤρξατο, καὶ ἤδη τρανότερον ὑπ' αὐτοῦ τοῦ Ἰωναδὰβ ἀπεκαλύπτετο, ἐξ οὗ οἱ Ἐσσαῖοι ἐκεῖνοι ἐτέχθησαν, καὶ ἀρχὴν τοῦτον τοῦ ἡμετέρου βίου τινὲς λέγουσιν. Οὗτος γὰρ ὁ Ἰωναδὰβ ἐκ Θεοῦ ταύτην τὴν χάριν ἀπεκαλύφθη, ὅστις τελευτῆσαι μέλλων, προσκαλεσάμενος τοὺς υἱοὺς αὐτοῦ, ἔφη· Ἀκούσατέ μου τῆς φωνῆς, ὦ τέκνα, καὶ φυλάξατέ μου τοὺς λόγους, ἵνα μακροχρόνιοι γένοισθε ἐπὶ τῆς γῆς, καὶ (3 ob.) οὐ μὴ ἐκλείποι ὑμῶν τὸ μνημόσυνον μέχρι τῆς τοῦ κόσμου τοῦδε συστάσεως· μὴ προσέλθητε γυναικί, καὶ κρέα οὐ φάγεσθε, καὶ οἶνον οὐ πίεσθε, οὐδ' ὅσα ἐστὶν ἐπὶ τῆς γῆς τέρποντα τὸ ἐπίκηρον σῶμα, οὐ πλεονεκτήσετε, καὶ οὐκ ἀποδώσητε κακὸν ἀντὶ κακοῦ· οὐκ ἐμπορεύσησθε· οὐκ ἔσται κτῆσις ἐν ὑμῖν γηίνου τινός· οὐ μηνιάσητε τὸν πλησίον, ἢ μισῆτε, ἢ κακώσητε, ἀλλ' ἀγαπήσετε ἐξ ὅλης τῆς καρδίας ὑμῶν· καὶ λατρεύσητε Κυρίῳ τῷ Θεῷ ἡμῶν, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα (4), τὰ ἐν αὐτοῖς· καὶ οὐκ ὀμιεῖσθε, ἢ ἐπιορκήσητε, ἢ ψεύσησθε, ἵνα ζήσησθε εἰς αἰῶνας, καὶ ἀνεξάλειπτον ἔσται τὸ μνημόσυνον ὑμῶν. Ταῦτα καὶ πλείονα τούτων ὑποτιθέμενος, ἐκοιμήθη. Ἃ καὶ διατηρήσαντες οἱ παῖδες αὐτοῦ, διεδόθη ἡ πολιτεία αὐτῶν εἰς πλείονας, καὶ μέντοι διὰ τῶν προφητῶν καὶ ἕως τῆς ἐπιδημίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ηὐξήθη καὶ εἰς πλῆθος ἐπέδωκεν. Ἐπὶ δὲ τῶν ἀποστόλων, καὶ ἔτι φαιδρότερον καὶ ὑψηλότερον ἀνέλαμψε, καὶ

ὑπὸ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἐθεσμοθετήθη. καὶ τελετῆς καὶ ἐπικλήσεως μετὰ (4 οβ.) τοὺς ἱεράρχας καὶ ἱερέας καὶ λειτουργοὺς ἠξιώθη, καὶ ἐπωνυμιῶν ἐνθέων ἀνάρρησιν εἴληφεν, ὡς δηλοῖ ὁ ἱεροφάντης καὶ ἰσαπόστολος Διονύσιος. Οἱ μὲν γὰρ φασὶ θεραπευτάς, οἱ δὲ μοναχούς, τοὺς μοναχοὺς ὠνόμασαν διά τε τὴν εἰς τὸ θεῖον διηνεκῆ θεραπείαν, διά τε τὴν μόνιμον στάσιν περὶ τὸ θεῖον, καὶ ἀμιγῆ τῶν κάτω συμφύρσεων, διὰ τὴν πρὸς τὸν σύνδεσμον ἕνωσιν, καὶ τὴν πρὸς τοὺς ἀγγέλους ὁμοίωσιν· οἱ γὰρ ἄγγελοι, μίαν ἔχοντες καὶ ἁπλῆν καὶ ἀσύνθετον καὶ μονοειδῆ φύσιν καὶ πολιτείαν, μίαν ἔχουσι καὶ οἱ μοναχοὶ κατὰ (5) προαίρεσιν ἐν ψυχῇ πολιτείαν, βραχύ τι παῤ αὐτοὺς ἠλαττωμένοι διὰ τὸν σύνδεσμον, ὡς ἤδη εἴρηται, τῆς σαρκὸς καὶ τὴν ταύτης οἰκονομίαν.

Ἐπεὶ οὖν βάπτισμα ἐστὶ δεύτερον ὁ μοναδικὸς βίος, καθώς τινες διδάσκουσι τῶν πατέρων, καὶ ἀνακάθαρσις καὶ ἀνακαινισμὸς τοῦ πρώτου βαπτίσματος, ἓν πάντως ἐστί, καθὼς μία πίστις ἐστί, καὶ οὐ δύο ἢ τρία βαπτίσματα, ὡς οἱ πολλοὶ τρίτον κουρεύουσιν. ἀλλ' ὡς εἴρηται, μία ἀπόκαρσις δέδεικται γίνεσθαι καὶ οὐ τρεῖς. Κατὰ μὲν τὸν ἐπὶ τοῦ προτέρου βαπτίσματος ἀφορκισμὸν καὶ (5 οβ.) ἀπόταξιν, ἡ τοῦ παλλίου δόσις καὶ ἀπόθεσις τῶν τριχῶν. κατὰ δὲ τὸν ἐν τῷ ὕδατι βαπτισμόν, ἡ τοῦ ὅλου σχήματος δόσις καὶ ἡ τελείωσις. Τοιγαροῦν ἀτιμάζουσιν, ὡς ἔγωγε οἶμαι, τὸ θεῖον τοῦ ἐπαγγέλματος βάπτισμα οἱ λέγοντες· μικρὸν σχῆμα καὶ μέγα. Ἓν σχῆμα ἐστίν, ὡς δέδεικται, καὶ ἓν βάπτισμα, καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας καὶ ὥρας ἀπαιτεῖται ἕκαστος τῶν ἀποτασσομένων τὴν ἐργασίαν αὐτοῦ, καθ' ἣν τῷ Χριστῷ συντάξηται καὶ ἀποκαρῇ τὴν κόμην τῆς αὐτοῦ κεφαλῆς. Διδάσκει δὲ καὶ ὁ πολὺς ἐν θεολογίᾳ καὶ μέγας ἱεράρχης (6) Γρηγόριος ἐν τῷ περὶ βαπτίσματος θείῳ λόγῳ, οὑτωσὶ λέγων· ἀφ' ἧς ἡμέρας καὶ ὥρας ἐπίστευσεν ἕκαστος καὶ ἐβαπτίσθη, ἀπ' ἐκείνης καὶ ἀπαιτεῖται τὴν ἐργασίαν τοῦ εὐαγγελικοῦ νόμου· Καὶ εἰκότως, ἐν συγκαταθέσει ψυχῆς ἡ σύνταξις περιώρισται, καὶ οὐκ ἐν παρατάσει χρόνου, ἢ τόπου, ἢ ἀμφιάσματος.

Καὶ ὅρα τὴν ἰσότητα τῆς τε κουρᾶς καὶ τοῦ νηπιόθεν δοθέντος βαπτίσματος· εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτιζόμεθα, καὶ εἰς αὐτὸ πάλιν κειρόμεθα· ἐκεῖ καινὰ ἀμφιάσματα, καὶ ὧδε καινὰ (6 οβ). ὡσαύτως τὰ ἀμφιάσματα· ἐκεῖ κουκούλλιον, καὶ ὧδε κουκούλλιον· ἐκεῖ σινδών, καὶ ὧδε παλλίον· ἐκεῖ ζώνη καὶ ὑποδήματα, καὶ ὧδε ὁμοίως· ἐκεῖ πρὸ τούτων κατάδυσις καὶ ἀνάδυσις ἐν τῷ ὕδατι. καὶ ὧδε ἡ ἐν

τῷ θυσιαστηρίῳ τρισσὴ γονυκλισία τε καὶ ἀνάνευσις· καὶ μία ἐστὶν ἡ τῶν ἐνθέων βαπτισμῶν δήλωσις ἔν τε τῇ ἀποταγῇ καὶ συνταγῇ καὶ τῇ συνταφῇ καὶ συναναστάσει τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καὶ τοῖς διὰ Πνεύματος ἁγίου δωρηθεῖσιν ἡμῖν χαρίσμασιν.

Διὰ ταῦτα, διδασκόμεθα φυλάττειν ἡμῶν (7) τὸ ἀξίωμα ἀρύπωτον καὶ ἀμίαντον, καὶ τριετῆ χρόνον ὡρίσαντο ἀναμένειν τοὺς ἀποτασσομένους, ὅπως ἑαυτοὺς προγυμνάσωσι καὶ προευτρεπίσωσι πρὸς ὑποδοχὴν ἔνθεον τοῦ θείου σχήματος, ἵνα μὴ εὐχερῶς καὶ ἀπαρασκευάστως εἰσελθόντες εἰς τὸν ἀγῶνα ἀτέχνως καταβληθῶσι καὶ ἀποθάνωσι νεκρώσει τῆς τῶν καλῶν ἐργασίας καὶ ἀναγεννήσει τῶν σαρκικῶν ἡδονῶν καὶ ἐπιθυμιῶν· οὐδὲ γὰρ περὶ τοῦ τυχόντος πράγματος ἢ ἀξιώματός ἐστιν ἡμῖν ὁ ἀγών (7 ob.), ἀλλὰ περὶ βίων ἐνθέων καὶ συμβόλων ἁγίων, ὑποδεικνύντων ἡμῖν γνωρίσματα ἐναργέστατα τοῦ τε βίου τῶν ἀΰλων καὶ θείων ταγμάτων καὶ τὴν μακαρίαν ζωὴν καὶ πολιτείαν, ἣν ὁ Κύριος ὑπέδειξεν ἡμῖν δι' αὐτουργίας τῆς ἐνθάδε, διὰ σαρκὸς ἐπιδημίας αὐτοῦ. Ὁ γοῦν θαῤῥήσας εἰσελθεῖν εἰς τὴν τῶν μοναχῶν παράταξιν, τὰ σκεύη τὰ πολεμικὰ καθοπλισάμενος καὶ συνταξάμενος δουλεύειν Θεῷ οὐδὲν ἄλλο καταθαῤῥήσας ὤφθη πεποιηκώς, ἀλλ' ἢ ἀσώματος καὶ χρηστὸς (8) γενέσθαι προθέσει καρδίας καὶ πίστεως ζέσει, καὶ ἀγάπῃ θανάτου. Ὅμως ἴδε καὶ σύνες, ὦ οὗτος, ὁποῖος ὁ βίος ἡμῶν.

Ἀσώματός ἐστιν ἡ τῶν ἀγγέλων φύσις, ἀσώματός ἐστι τῷ τρόπῳ καὶ ἡ ἡμετέρα τῇ τῶν ἀγώνων ἐπιδείξει καὶ τῷ ἀδουλώτῳ τῆς ὕλης, καὶ τῇ ἀπροσπαθείᾳ τῶν γηΐνων καὶ τῇ ὑπεροψίᾳ τῶν ἡδονῶν· ἵστανται ἐκεῖνοι δι' ὅλου τὴν ἐπ ἰσχίῳ καθέδραν μὴ ἀνεχόμενοι, διηνεκῶς ᾄδοντες τὴν τρισάγιον ὑμνῳδίαν· ἱστάμεθα καὶ ἡμεῖς, διηνεκῶς ᾄδοντες τὴν τρισάγιον μοναρχίαν (8 ob.), ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τὴν ἐπὶ τοῦ ἰσχίου καθέδραν δουλεύοντες τῷ βάρει τοῦ σώματος καὶ φέροντες εὐμαρῶς τοὺς πόνους τῇ ἀγάπῃ πτερούμενοι· ἐνδέδυνται ἐκεῖνοι στολὰς ἐνθέους καὶ ποικίλας, καὶ σκῆπτρα καὶ δόρατα κατέχουσιν, ἅτινα τὸ ὑπερφυὲς καὶ ἀπρόσγειον καὶ ὑπερέχον τῆς δόξης αὐτῶν ἐμφανίζουσιν, ἐνδεδύμεθα καὶ ἡμεῖς κόσμον ὡραῖον, τὰς ἀρετάς, καὶ ἀντὶ σκήπτρων καὶ δοράτων κατέχομεν τὴν πίστιν καὶ τὴν χάριν τοῦ Πνεύματος, ἐγγεγραμμένον ἔχοντες τὸ θεῖον ὄνομα (9) τοῦ Χριστοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κεκοσμημένοι ὑπάρχοντες τῇ πορφυρίδι τοῦ αἵμα-

τος αὐτοῦ· πτερὰ ἐν ἐκείνοις. καὶ ἐν ἡμῖν παλλίον· στερέωμα ὑπὲρ κεφαλῆς ἐκείνων καὶ νεφέλη καὶ πνεῦμα, καὶ ἐν ἡμῖν κουκούλλιον, ἡ σκέπη τοῦ πνεύματος, καὶ σταυροῦ τύπος καὶ δέησις καὶ ἐξάπλωσις χειρῶν. καὶ κλίσις αὐχένος, οὐ τὴν δουλείαν μόνον, ἀλλὰ καὶ τὴν ἐπέλευσιν καὶ ὑποδοχὴν τῆς ἐλλάμψεως ἐμφανίζοντα· θεοῦνται ἐκεῖνοι τῇ φρυκτωρίᾳ καὶ μετοχῇ τῆς θεότητος, ἁγιαζόμεθα καὶ θεούμεθα καὶ ἡμεῖς τῇ μετα(9 об.)λήψει καὶ πόσει τοῦ ἀχράντου σώματος καὶ αἵματος αὐτοῦ. ἐσθίοντες καὶ πίνοντες αὐτὸν καθ' ἡμέραν, τὸν δὲ βίον αὐτοῦ εἰκονίζει ὅ τε ἀνάλαβος καὶ ὁ λῶρος, καὶ ἡ τῶν ἐσθημάτων μελάνωσις, καὶ αἱ νηστεῖαι. καὶ ἀγρυπνίαι, καὶ χαμευνίαι, καὶ αἱ λοιπαὶ κακώσεις τοῦ σώματος, καὶ ἡ τῶν θλίψεων ὑπομονή. Τὴν δὲ ταφὴν αὐτοῦ δείκνυμεν ἐν τῷ εἰς γῆν κλίνειν ἡμῶν τὸ γόνυ, καὶ τὴν ἀνάστασιν ἐν τῷ αὖθις ἀνίστασθαι, καὶ ὅλος ὁ βίος αὐτοῦ ἐν ἡμῖν ἐστὶ διὰ τῶν συμβόλων τούτων· ὅς διὰ πράξεων βεβαιοῦται, ἐὰν ἐθέλωμεν ἑαυτοὺς ἐπιγινώσκειν, καὶ τρέμειν ὡς ἀναξίως τοῦ ἐπαγγέλματος ἡμῶν ζῶντες καὶ πορευόμενοι.

Τιμήσωμεν οὖν ἡμῶν τὸ ἀξίωμα· προσθῶμεν εἰς τὸ δωρηθὲν ἡμῖν τάλαντον· αὐξήσωμεν ἡμῶν τὰ χαρίσματα· πολυπλασιάσωμεν τὸν πνευματικὸν πλοῦτον· ἀποθώμεθα ἔργα, ἵνα λάβωμεν δῶρα, ἤγουν συναθροίσωμεν καὶ ταμιευσώμεθα· ὁράμωμεν. ἵνα νικήσωμεν· ἀγωνισώμεθα, ἵνα στεφανωθῶμεν· ζητήσωμεν, ἵνα τύχωμεν· μὴ καὶ ὑπὲρ τοῦ μὴ ζητεῖν ἐγκληθῶμεν, ὡς ὑπὲρ τοῦ ζητεῖν συνταξάμενοι (10 об).

Μεγαλόδωρός ἐστιν ὁ Δεσπότης, διψῶν ἀεὶ τοῦ δωρεῖσθαι τὰ ἀγαθὰ τοῖς ζητοῦσιν αὐτά. Χαίρει περὶ τὸ πλουτίζειν καὶ καταλάμπειν ἡμᾶς ταῖς ἀκτῖσι τῆς θεότητος αὐτοῦ. Οὐκ ἔστι γόγγυσος, ὡς ἡμεῖς, ἀλλὰ πρόθυμος περὶ τὸ διδόναι· ταχύς ἐστιν εἰς τὸ ἀκοῦσαι καρδίας νηφούσας καὶ θελούσας σωθῆναι· οὐ θέλωμεν δὲ σωθῆναι, ἢ τιμηθῆναι, ἐπειδὴ πονεῖν οὐ βουλόμεθα· κατακυριευόμεθα ὑπὸ τῶν παθῶν ἐπειδὴ προσέχειν οὐ θέλομεν· οὐ προσέχομεν δέ, ἐπειδὴ φόβον οὐκ ἔχομεν· ἀλλὰ πολλὴν ἀγνωσίαν καὶ (11) τύφλωσιν καὶ ἀναισθησίαν διὰ τὴν πονηρὰν συνήθειαν καὶ τὸ μὴ καλῆς καὶ διαπύρου ἀρχῆς ἅψασθαι. Τούτων δὲ οὐδείς ἐστιν αἴτιος, εἰ μὴ φιλαυτία καὶ τὸ ἐκδικεῖν τὰ ἴδια πάθη, καὶ μὴ ἔχειν ἀληθινὴν ταπείνωσιν καὶ βάλλειν τὸ σφάλμα, κἄν τε εὔλογόν ἐστιν, κἄν τε ἄλογον ἐπάνω αὐτοῦ.

Ὁ δὲ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς δῴη ἡμῖν σύνεσιν καὶ ἰσχὺν καὶ βοήθειαν, ὅπως εἰς ἑαυτοὺς ἐπανέλθωμεν, καὶ καλῶν ἔργων ἐργάται γενώμεθα, καὶ μὴ ἀστοχήσωμεν τῶν αἰωνίων ἀγαθῶν (11 об.) καὶ τῆς δόξης τῆς ἀνεσπέρου διὰ τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον καὶ παμπόθητον, Ἀμήν (12) [1]).

---

[1]) Противъ этого отдѣла, на поляхъ сдѣлана приписка: Εὐχή.

ЗАМѢЧЕННЫЯ ОПЕЧАТКИ.

СТРАН.	СТРОКА	НАПЕЧАТАНО	ДОЛЖНО БЫТЬ
3	5— 6	подбижной	подбижнической
—	22—23	собственоручно	собственноручно
7	6	Анхеленскаго	Энхеленскаго
—	18	укааніе	указаніе
—	—	кожаннаго	кожанаго
14	26	monesterii	monasterii
19	3	переоблачили	переоблачали
—	14	братіи	братію
—	18	которыя	которые
20	21	обитоль	обитель
22	8	происхожденія	происхожденіе
24	9	пристутствіи	присутствіи
26	33	словамъ	слова
28	4	уложенныхъ	изложенныхъ
30	7	принимаетъ	принимать
54	2	ϰ ι	ϰαὶ
56	8	монашества	монашество
58	13	ресоформъ	рясоформъ
59	22	практики	практикѣ
—	30	мотивами	молитвами
—	37	радовалъ	ратовалъ
63	29	воздѣвалъ	воздѣвая
65	4	самаго	самого
—	17	признаніе	признанія
66	2	Κυριε	Κύριε
—	22	моменъ	моментъ
67	14	полестинскихъ	палестинскихъ
68	4	приготовлясь	приготобляясь
—	24	перешолъ	перешелъ
70	4	Номоканона	Номоканонѣ
—	8	существованіе	существованія
—	32	истолкованно	истолковано
74	5	Θоодора	Θеодора
—	21	приходилась	приходилось
76	15	удостаиваются	удостоиваются
—	34	нисшіе	низшіе
77	2	звѣно	звено

СТРАН.	СТРОКА	НАПЕЧАТАНО	ДОЛЖНО БЫТЬ
77	11	постригательныхъ	постригальныхъ
78	1	со	ко
87	9	схимой	схимы
—	18	постригательные	постригальные
88	24	Εὐχυλόγιον	Εὐχολόγιον
90	12	убѣдится	убѣдиться
—	13	вящіе	вящшіе
—	22	ниспосленіи	ниспосланіи
94	20	чинѣ	чина
97	15	вліяніе	вліянія
99	12	всенощнихъ	всенощныхъ
104	24	предѣлѣ	придѣлѣ
—	26	предѣлѣ	придѣлѣ
107	12	гречекихъ	греческихъ
—	13	каснона	канона
—	38	Müncher	München
108	18	былъ	быть
109	15	постиженіемъ	постриженіемъ
—	16	вобще	вообще
—	25	въ монастырь	монастырь
121	20	цѣнія	пѣнія
—	24	τέχτα	τέχνα
125	3	небѣсѣхъ	небесѣхъ
126	22	преставлены	представлены
127	9	схимой	схимы
130	42	также	такъ же
141	10	постриженіе	постриженія
148	30	τὸ и	и τὸ
—	32	нимъ	немъ
149	18	Ἀγαλγιάσθω	Ἀγαλλιάσθω
—	22	Ποτρὶ	Πατρὶ
158	12	ϑεστοκίον	ϑεοτοκίον
—	13	глась	гласъ
160	14	также	такъ же
—	20	также	такъ же
—	25	казнями	кознями
—	31	Молитвъ	Молитва
168	5	обличеніе	облаченіе
170	8	совершалося	совершалось
—	9	чѣмъ	чемъ
172	5	новопросвященнымъ	новопросвѣщеннымъ
173	15	крестистися	крестистеся
176	36	воспреемникомъ постригающаго	воспріемникомъ постригающагося
180	4	отпущенныхъ	опущенныхъ
183	34	ἐπίβλεφον	ἐπίβλεφον
188	20	чиномъ,	чиномъ

СТРАН.	СТРОКА	НАПЕЧАТАНО	ДОЛЖНО БЫТЬ
190	35	мясоѣденія	мясояденія
192	24	дорованіяхъ	дарованіяхъ
—	31	умертшвленными	умерщвленными
194	9	Аллеціи	Алляціи
—	26	крещеніи	крещенія
196	22	съ	въ
197	17	умершвленія	умерщвленія
—	38	оплачивающіе	оплакивающіе
198	4	н тѣхъ, каторые	и на тѣхъ, которые
—	32	дышетъ	дышитъ
200	10	крешенія	крещенія
201	7	богохульствомъ	богохульствовалъ
203	12	являются	является
204	32	непріемлены	непріемлемы
205	7	сохранившимся	сохранившимися
206	17	σαήματος	σχήματος
208	25	Δύξα	Δόξα
215	2	возвращаемся	возвращающемся
216	14	Господу	Господа
220	12	Евхо-	Евхологіи
222	15	Берберіновскій	Барберіновскій
223	14	Аллиліи	Аллилуіи
226	24	καψαλῆ	κεφαλῆ
232	15	существуемыхъ	существенныхъ
233	21	носитъ	носить
—	33	діаконникъ	діаконикъ
238	5	схимы	схимѣ
—	9	Ἀκολουθια	Ἀκολουθία
—	14	л.	л. 1
239	13	осуществленняя	осуществленная
—	14	Сеодора	Ѳеодора
—	30	элементахъ	элементовъ
242	6	во моментовъ.	до моментовъ,
—	7	малого	малаго
243	3	Σχηματολογιον	Σχηματολόγιον
—	23	діаконника	діаконика
—	27	славами	словами
244	8	ооставляетъ	составляетъ
245	25	свое	своего
249	25	такъ же	также
252	4	свѣтъ	святъ
259	2	Ἀκολυυθία	Ἀκολουθία
263	21	вѣка т. Синайской	вѣка Синайской
265	17	то	то,
—	31	подходъ	подходитъ
268	40	такъ же	также
271	33	хиротескій и хоротоній	хиротесій и хиротоній
273	3	Московпаской	Московской

СТРАН.	СТРОКА	НАПЕЧАТАНО	ДОЛЖНО БЫТЬ
277	31	собравшихъ	собравшихся
285	11	ἀποστολικου	ἀποστολικοῦ
286	28	чинахъ	чиновъ
293	34	пренадлежащій	принадлежащій
—	37	измѣненіе	измѣненія
297	20	обычномъ	обычнымъ
299	35	а. При	а при
303	20	обоимъ ликамъ	обоими ликами
304	4	указываютъ	указываетъ
306	10	которые	которыя
308	17	ῥασοφοῦντες	ῥασοφοροῦντες
311	36	поученія	поученія,
316	11	Ἅγιε	Ἅγιε
333	5	разумѣемъ постриженіе	разумѣемъ практику, отвергающую постриженіе
345	24	Ἐκκλέσιαστικὴ	Ἐκκλησιαστικὴ

Въ Приложеніи.

СТРАН.	СТРОКА	НАПЕЧАТАНО	ДОЛЖНО БЫТЬ
18	8	Ἄμομον	Ἄμωμον
20	16	λοπόν	λοιπόν
—	26	σουνπέρχονται	συναπέρχονται
21	6	θαλασσηδίῳ	θαλασσιδίῳ
—	7—10	ἀντίφονον	ἀντίφωνον
—	25	Ὡς	Ὡς
—	31	ἁμαρτιμάτων	ἁμαρτιμάτων
22	5—28	ἕως	ἕως
—	14	ἐπερωτᾶ	ἐπερωτᾷ
23	12	κομικάς	κοσμικάς
—	14	Ἁγνὴ	Ἁγνὴ
24	1	ὀσφῦν	ὀσφὺν
25	6	λαικόν	λαϊκόν
—	18	ἀσπάξουσιν	ἀσπάζουσιν
27	11	γενώσκων	γινώσκων
—	19	χριστῷ	χρηστῷ
—	—	ἑαυτῆς	ἑαυτῆς
—	25	καταξιωθῆ	καταξιωθῇ
28	12	ἕως	ἕως
30	3	νῶν	νῦν
33	4	Ὁ	Ὁ
37	10	αὐτοῦ	αὗτοῦ
38	12	ἐπερωτᾶ	ἐπερωτᾷ
39	31	Ἀσπάξεται	Ἀσπάζεται
55	25	ἁγιάξοντι	ἁγιάζοντι